Eustathius 911, 63 *καὶ ἰτέας δέ τινας ἀσπίδας Αἴλιος Διονύσιος ἱστορεῖ, φέρων καὶ χρῆσιν ἐξ Ἀριστοφάνους ταύτην κτλ.* haec si componas cum Eustath. 1542, 48 et Phot. *στίγων* (fr. 97), vix potest dubium esse quin ad Babylonios pertineant. cf. Plut. Mor. 165 e *τοῖς πεδήταις ἐπελαφρύνει τὸν δεσμὸν ὁ ὕπνος.* apud Aristophanem *πεδήτης* simpliciter *servum* significat.

66

ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.

Schol. Lysistr. 282 *τὰς τάξεις ἀσπίδας ἔλεγον· καὶ αὐτὸς πάλιν Ἀριστοφάνης ἐν Βαβυλωνίοις κτλ.* Suid. *ἀσπιδηφόροι· . . . Ἀριστοφάνης· ἵστασθ' κτλ.* chorum vel aliquam hominum turbam nescio quis *κατὰ στοίχους καὶ ζυγά* consistere iubet. cf. Av. 400. 448. cum fr. 633 coniungit Fritzschius Bab. 25.

67

ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν.

Photius *νεολαίαν· τὴν νεότητα τετρασυλλάβως οἱ Ἀττικοί. Βαβυλωνίοις κτλ. νεολαίας* Porson.] *νεολέας* cod., et sic *νεολέαν*. Phot. 295, 6 *νεολαία· νέος λαὸς καὶ οὐ πάλαι εἰς ἄνδρας ἐγγεγραμμένος.* Bekker. Anecd. 52, 25 *νεολαία· ἔστι νέος λαὸς ἡ νεότης, παρ' ὃ γέγονεν ἡ νεολαία.* conl. Nub. 1 Bergkius primum fabulae versum fuisse arbitratur, non recte meo iudicio.

68

ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα
ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

Athenaeus 3, 86 f *τὰς δὲ κόγχας ἔστιν εὑρεῖν λεγομένας καὶ θηλυκῶς καὶ ἀρσενικῶς. Ἀριστοφάνης Βαβυλωνίοις κτλ. ἐπὶ τῶν ἀνθράκων* pertinet ad *ὀπτωμέναις*. *concham hiantem* Cic. N. d. 2, 48 confert Fritzschius. scrib. *ἐμφερέστατοι*, adverbium enim neque apud comicos neque apud tragicos invenitur. populum Atheniensium Gorgiae eloquentiam stupide admirantem dici conl. Ach. 233. 634. 5. Eq. 1262 arbitratur Bergkius, verba esse Dionysi ex contione redeuntis censent Dindorfius et Fritzschius Daetal. 122. Babyl. 53.

69

ἀνήρ τις ἡμῖν ἐστιν ἐγκινούμενος.

Etymol. m. 311, 1 *ἐγκινούμενος· Βαβυλωνίοις Ἀριστοφάνης.*

ῥητορική. ταράττων καὶ ἐμποδίζων. ἔστιν om. V. quis significetur prorsus incertum est.

70

Athenaeus 11, 494d *κἂν τοῖς Βαβυλωνίοις οὖν τοῖς Ἀριστοφάνους ἀκουσόμεθα ποτήριον τὸ ὀξύβαφον, ὅταν ὁ Διόνυσος λέγῃ περὶ τῶν Ἀθήνησι δημαγωγῶν ὡς αὐτὸν ᾔτουν ἐπὶ τὴν δίκην ἀπελθόντα ὀξυβάφω δύο. οὐ γὰρ ἄλλο τι ἡγητέον εἶναι ἢ ὅτι ἐκπώματα ᾔτουν.* itaque Bacchus a Cleone vel alio principe civitatis ob nescio quam causam videtur in ius vocatus esse. Aristophanem scripsisse arbitror *ᾔτουν δ' ἐμὲ* | *ἐπὶ τὴν δίκην ἄγοντες ὀξυβάφω δύο.*

71

Α. δεῖ διακοσίων δραχμῶν.
Β. πόθεν οὖν γένοιντ' ἄν; Α. τὸν κότυλον τοῦτον φέρε.

Pollux 10, 85 *οἱ κότυλοι ὅτι καὶ ἀργυροῖ ἐγίνοντο ἱκανὸς μηνῦσαι Ἀριστοφάνης ἐν Βαβυλωνίοις εἰπὼν κτλ.* Athenaeus 11, 478c *καὶ Πλάτων ἐν Διὶ κακουμένῳ 'τὸν κότυλον φέρει' φησὶ καὶ Ἀριστοφάνης ἐν Βαβυλωνίοις . . . Πάμφιλος δὲ ποτηρίου φησὶν εἶναι γένος, ἴδιον δ' εἶναι Διονύσου.* itaque haec quoque videntur ad Bacchi causam pertinere. *φέρε*, i. e. *oppignera*. Av. 78. Thesm. 262 contulit Fritzschius.

72. 73

πόσους ἔχει στρωτῆρας ἀνδρὼν οὑτοσί;
*   *   *   *
ὡς εὖ καλυμματίοις τὸν οἶκον ἤρεφεν.

Pollux 10, 173 *ἀλλὰ μὴν τῷ στεγαστῆρι ὀρόφῳ προσήκοιεν ἂν καὶ οἱ στρωτῆρες καὶ τὰ καλυμμάτια, ἄμφω δὲ ἐν Ἀριστοφάνους Βαβυλωνίοις· πόσους — οὑτοσί. καὶ αὖ πάλιν· ὡς κτλ.* Harpocratio *στρωτὴρ . . . τὰ ἐπάνω τῶν δουροδόκων τιθέμενα στρωτῆρας ἔλεγον, ὥς φησι Δίδυμος. ἔστι τοὔνομα καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνους.* Photius *καλύμματα* (Fritzschius *καλυμμάτια*) *ἃ τινες φατνώματα· οὕτως Ἀριστοφάνης.* Photius *στρωτήρ· ἄλλοι δὲ πλέγμα λέγουσι τὸν στρωτῆρα ἀπὸ ῥάβδων εἰς ὀρόφωσιν πεποιημένον.* Bekker. Anecd. 302, 5 *στρωτῆρές εἰσι τὰ μικρὰ δοκίδια εἰς ὀροφὰς πεποιημένα· οἱ δέ φασι πλέγματά τινα ἀπὸ ῥάβδων εἰς ὀρόφωσιν πεποιημένα, οἱ δὲ σανίδας πάλιν εἰς ὀροφὴν ἐπιτηδείους. οἶκος* hic *conclave* est, in quo cenabant. 'laudat aliquis elegantiam lacunaris. cf. Vesp. 1215.' Bergk. 2. *εὖ* Bergkius] *οὐ*. potest tamen poeta etiam scripsisse *πῶς οὐ — ἤρεφεν; qui factum est ut* cet.

74

μέσην ἔρειδε πρὸς τὸ σιμόν.

Schol. Lysistr. 288 *σιμός· τὸ σιμὸν ὄνομα χωρίου περὶ τὴν ἀκρόπολιν. τὸ σιμὸν ἀντὶ τοῦ πρόσαντες . . . καὶ ἐν Βαβυλωνίοις κτλ.* Suidas *σιμός· ὁ προσάντης τόπος. καὶ σιμὸν οὐδετέρως. Ἀριστοφάνης ἐν Βαβυλωνίοις· μέσην κτλ.* Photius 512, 8 et Bachmann. Anecd. I 364, 22 *σιμόν· ἄναντες. οὕτως Ἀριστοφάνης.* Hesych. *σιμόν· τὸ πρόσαντες χωρίον.* quae in codicibus Suidae et scholiorum post *σιμόν* leguntur *καὶ πλατὺ ἐν νίκαις*, ea ex *καὶ Πλάτων ἐν Νίκαις* (fr. 79) detorta esse Elmsleius monuit Ach. 377. etsi verbum *ἐρείδειν* saepe de coitu usurpatur, hic tamen nihil inest obscaenitatis, quam sunt qui comicis etiam invitis obtrudant. est enim *acriter progredi*, ut fr. 493. cf. etiam Ran. 914, et *τὸ σιμόν* grammatici recte interpretantur *clivum arcis* Athenarum. cf. Lys. 288. Plat. 79. Dionys. 4, 4 *πρὸς τὸ σιμὸν ἀνατρέχειν.* Plut. Demosth. 11 *τὴν φωνὴν ἐν τοῖς δρόμοις γυμνάζεσθαι καὶ ταῖς πρὸς τὰ σιμὰ προσβάσεσι*, ubi idem clivus significari videtur: quamquam etiam alii clivi ita adpellabantur (Xen. Hell. 4, 3, 23). *μέσην*, i. e. *ὁδόν.*

75

ἐννεύει με φεύγειν οἴκαδε.

Priscianus 18, 207 *Aristophanes in Babyloniis . . . nos quoque similiter 'adnuit me fugere domum'.* sine idonea causa cum hoc fr. 616 coniungit Fritzschius Bab. 45 not. 33. *ἐννεύειν* Atticis fere ignotum idem exemplis Lucian. Dial. meretr. 12, 1 et Evang. Luc. 1, 62 inlustravit.

76

εἰς ἄχυρα καὶ χνοῦν

Pollux 10, 38 *εἴποις δ' ἂν οἶμαι καὶ χνοῦν . . . ἐπὶ τῶν μαλακῶν, Ἀριστοφάνους εἰπόντος μὲν ἐν Βαβυλωνίοις κτλ.* cf. Bachmann. Anecd. I 418, 24 *χνοῦν· τὸ λεπτὸν τοῦ ἀχύρου. Ἀριστοφάνης.* cf. Nub. 978. videtur usus esse proverbio *ὄνος εἰς ἄχυρα.* Photius, Suidas, Apostol. 12, 78 *ὄνος εἰς ἄχυρα· ἐπὶ τῶν παρ' ἐλπίδας εἰς ἀγαθὰ ἐμπιπτόντων καὶ τούτοις ἀπολαυστικῶς χρωμένων.* Bekker. Anecd. 7, 23 *ἡ παροιμία· οἶνος* (*ὄνος* Meinek. Menandr. p. 425) *εἰς ἀχυρόν.* Diogenian. 6, 91 *ξυρὸς εἰς ἀκόνην· πρὸς τοὺς ὧν βούλονται τυγχάνοντας. ὁμοία τῇ ὄνος εἰς ἄχυρα.* C *ἐπὶ τῶν ἀδηφάγων.* cf. Vesp. 1310. Philem. Athen. 2, 52e. Eq. 254.

77

τὴν αὑτοῦ σκιὰν δέδοικεν.

ἐπὶ τῶν σφόδρα δειλοτάτων· μέμνηται ταύτης Ἀριστοφάνης Βα-

βυλωνίοις. Schol. Platon. 381 Bekker. cf. Apostol. 16, 49 a. Macar. 8, 14. Gregor. Cypr. Leid. 3, 18 et Schneidewin. Paroem. praef. XVIII sq.

78

ναυλόχιον ἐν τῷ μέσῳ.

Photius *ναυλοχεῖν· . . . καὶ ναυλόχιον ὁ τοιοῦτος τόπος, ᾧ λιμένες ἔνεισιν. ναυλ. κτλ. Ἀριστοφάνης Βαβυλωνίοις.* Pollux 9, 28 *καὶ ὅρμος δὲ καὶ κρηπίς, νεώρια, νεώσοικοι, καὶ ὡς Ἀριστοφάνης ἐν Βαβυλωνίοις, ναυλόχιον.* videtur esse exitus trimetri iambici.

79

ἤ που κατὰ στοίχους κεκράξονταί τι βαρβαριστί.

Photius *στοῖχος· στίχος . . . Ἀριστοφάνης Βαβυλωνίοις κτλ.* Hesychius *κατὰ στίχους· κατὰ τάξεις.* quamquam haec quidem (M. Schmidt *κατὰ στίχας*) ad Homerum videntur pertinere. barbarorum chorum carmen aliquod canere parare interpretatur Bergkius. sed quis barbarum carmen intellegeret? Aeschyli enim Persae non canunt *βαρβαριστί.* non chorum, sed servos vel legatos significari putat Fritzschius Babyl. 24. 5.

80

εὖ γ' ἐξεκολύμβησ' οὑπιβάτης, ὡς ἐξοίσων ἐπίγυον.

Harpocratio *ἐπιβάτης . . . οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις κτλ. ἐξεκολύμβησ' οὑπιβάτης* Porson. Hecub. praef. LI] *ἐξεκολύμβησεν ἐπιβάτης. ὡς] ἂν* (sic) N. *ἐπίγυον] ἐπίγνον* A. cf. fr. 426. vulgo *ἐπίγεια* scribuntur vel *ἀπόγαια, ἀπόγυα.* Pollux 1, 93. 10, 134. solum *ἐπίγυον* (*σχοινίον*), idem quod *πεῖσμα, πρυμνήσιον* (opponuntur *σχοινία ἀγκύρεια*), probandum esse ex inscriptionibus demonstravit Boeckhius Oecon. III 162, contractum censens ex *ἐπιγύιον.* Polyb. 3, 46, 3 *τὴν ἀπὸ τοῦ ῥεύματος* (fluvii) *πλευρὰν ἠσφαλίζοντο τοῖς ἐκ τῆς γῆς ἐπιγύοις, εἰς τὰ περὶ τὸ χεῖλος* (fluvii) *πεφυκότα τῶν δένδρων ἐνάπτοντες.* ceterum figurate poeta videtur locutus esse.

81

ἢ δῶρ' αἰτῶν ἀρχὴν πολέμου μετὰ Πεισάνδρου πορίσειεν.

Schol. Av. 1556 *Πείσανδρος . . . δωροδοκῆσαί φησιν αὐτὸν Ἀριστοφάνης Βαβυλωνίοις διὰ τούτων κτλ.* Schol. Lysistr. 490 *Πείσανδρος ... κωμῳδοῦσι δὲ αὐτὸν καὶ ὡς δωροδόκον, ὡς καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνης. αἰτῶν* Dindorfius] *αἰτοῦντες,* quod est *αἰτῶν*

τις, pronomine τις ex eo qui proxime antecedebat versu perperam repetito. μετὰ Π. πορίσειεν Bergk.] πορίσειεν μετὰ Π. — ἢ δωροδοκῶν multo ante Cobetum Obs. crit. 128 Fritzschius Bab. 14. ex parabasi similive comoediae parte versum petitum esse adparet conl. Ran. 361. de *Pisandro* cf. Hermipp. 9. Lysiclem τὸν ποριστὴν inrideri somnium est Muelleri Strubingensis p. 588. 9 adn.

82

ἢ βοιδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν.

Ammonius 149. Append. Etym. Gud. 640, 44. Bachmann. Anecd. II 381, 10 χόλικες· αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης Βαβυλωνίοις κτλ. βοιδάριον App. Etym., Bachm. An. ibidem omittitur ζεῦγος. βοιδαρίοιν Dindorfius. non repugno quo minus hic quoque versus ad parabasin referatur. sed artissime cum fr. 81 coniunctum fuisse non credo. obstat enim modorum discrepantia (πορίσειεν — ἀπέκτεινε).

83. 84

κατάγου ῥοθιάζων.

* *

ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ

Suidas ῥοθιάζουσιν et Photius ῥόθιον· τὸ μετὰ ψόφου κῦμα· ἢ ῥεῦμα· σημαίνει καὶ τὴν εἰρεσίαν· καὶ ῥοθιάζειν, τὸ ἐρέσσειν εὐτόνως. Ἀριστοφάνης Βαβυλωνίοις· κατάγου ῥοθιάζων φησὶν καὶ πάλιν ναῦς κτλ. et versuum heroicorum et tetrametrorum anapaesticorum reliquiae esse possunt. Bergkii Fritzschiique (Babyl. 43. 4) de his commenta admodum incerta sunt. fortasse fr. 83 cum 85 ita coniungendum κατάγου δ' ἐς τὸν λιμένα ῥοθιάζων.

85

ἐς τὸν λιμένα

Hesychius εἰς τὸν λιμένα. Ἀριστοφάνης ἐν Βαβυλωνίοις. παρὰ τὴν παροιμίαν· Ἀττικὸς εἰς λιμένα. οἱ γὰρ Ἀθηναῖοι συντόνως ἤλαυνον καταπλέοντες, διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς. cf. Photius 22, 7. Zenob. 2, 10. paullo aliter Diogenian. 1, 66. 4, 79 εἰς τὸν λιμένα· ἀπὸ τῶν ἐν λιμένι (μὲν) ἐρεσσόντων, ἔξω δὲ ῥαθυμούντων. Terent. Andr. 3, 1, 22 *ego in portu navigo*, i. e. periculum effugi.

86

Schol. Pacis 347 Φορμίων . . . αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις. Phormionem Ol. 88, 1 Bergkius, Ol. 87, 4 i. e. biennio fere ante Babylonios actam mortuum esse Wilamowitzius conicit Obs. crit. 33. qua de causa ad multam

fuerit damnatus et postea liberatus in Babyloniis poeta commemoravisse videtur. quae praeterea de hac re exponit Wilamowitzius Obs. crit. 34 not. 18, ea vera esse neutiquam praestiterim.

87

ἀνθ' Ἑρμιόνος

Zenobius 2, 22 *εἴρηται ἡ παροιμία ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας, ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν κόρης καὶ Δήμητρος ἀσφάλειαν παρέχον τοῖς καταφεύγουσι. μέμνηται ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις. Ἑρμιόνος* Fritzschius Bab. 50] *Ἑρμίωνος.* Photius *Ἑρμιόνη· χωρίον ἄσυλον· ἢ πόλις ἡ ἐν Πελοποννήσῳ, ἔχουσα ἱερὰ Δήμητρος καὶ Περσεφόνης ἄσυλα.* Bekker. Anecd. 256, 15 *Ἑρμιόνη· χωρίον ἄσυλόν ἐστιν ἡ Ἑρμιόνη οὕτω καλούμενον.* itaque *ἀνθ' Ἑρμιόνος* dicitur quisquis non minus quam templa Hermionensia incolumitatem alicuius praestat.

88

τὰ μέτωπα Ἰστριανά

Hesychius *Ἰστριανά· Ἀριστοφάνης ἐν Βαβυλωνίοις τὰ μέτωπα τῶν οἰκετῶν Ἰστριανά φησιν, ἐπεὶ ἐστιγμένοι εἰσίν· οἱ γὰρ παρὰ τῷ Ἴστρῳ οἰκοῦντες στίζονται καὶ ποικίλαις ἐσθήσεσι χρῶνται. Διονύσιος δέ φησιν, ἐπεὶ πρότερός τις Ἰστριανὸς λέγεται, ὁ λευκός, κατ' ἀντίφρασιν εἰρῆσθαι ὡς καθαρὰ καὶ λευκὰ τὰ μέτωπα, τοὐναντίον δὲ νοεῖσθαι ἐστιγμένα.* pro *ποικίλαις ἐσθήσεσι* utique scribendum est *ποικίλοις ἀνθίσμασι* vel *ποικίλαις ἀνθίσεσι.* coloribus enim aliquid variegare et proprie et figurate Graeci dicunt *ἀνθίζειν.* significantur autem ora servorum variis coloribus et notis quibusdam Thraciis distincta, non vestimenta.

89

πόδα βαλλαντίου

ὁ αὐτὸς (*Ἀριστοφάνης*) *εἴρηκεν ἐν Βαβυλωνίοις.* Pollux 10, 152. *βαλλαντίου* scribendum erat, quamquam etiam Bekkerus *βαλαντίου.*

90

Aristoteles Rhetor. 3, 2 extr. *ἔστι δὲ ὁ ὑποκορισμὸς ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν· ὥσπερ καὶ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις ἀντὶ μὲν χρυσίου χρυσιδάριον, ἀντὶ δ' ἱματίου ἱματιδάριον, ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον. νοσημάτιον*] *νοημάτιον* Fritzsch. Bab. 50. 1 etiam fr. 756 huc referens, nulla necessitate. Gorgiam inrideri censet Bergkius.

91

ἁλυκόν

ἀντὶ τοῦ ἁλμυρόν. Ἀριστοφάνης Βαβυλωνίοις. Bekker. Anecd. 80, 14. ibid. 383, 20 *ἁλμυρόν· . . . λέγουσι δὲ καὶ ἁλυκόν . . . Ἀριστοφάνης Λυσιστράτῃ* (403). Hesych. *ἁλυκόν· ἁλμυρόν.* Lob. Pathol. prol. 345.

92

δύσριγος

Pollux 4, 186 *Ἀριστοφάνης ἐν Βαβυλωνίοις δύσριγος εἴρηκε.* i. e. *misere frigens.* cf. Lobeck. Phryn. 418. 420. dubitat Dindorfius in Thesauro II 1790 (cf. Poet. scen. ed. noviss. fr. 66a), turbata esse Pollucis verba et Aristophanis nomen non ad *δύσριγος* Atticis inusitatum, sed ad *πῦρ* (i. e. *πυρετός*), quod Pollux paullo post commemorat, referendum censens.

93

ζώστειον

Etymol. m. 414, 40 *ζώτειον· προπαροξυτόνως ὁ μύλων, παρὰ τὰς ζειάς . . . οἱ δὲ τόπον ὄνομα, ὅπου ἐκολάζοντο οἱ οἰκέται. Ἀριστοφάνης Βαβυλωνίοις ζώστειον, ὡς Ὧρος ὁ Μιλήσιος εἴρηκεν. ζώτειον*] *ζώντιόν* V, *ζώντειον* cod. Flor. Milleri (Mélanges 141). *ζητρεῖον* (a *ζέα* Lob. Phryn. 310) Eupol. 348. Theopomp. 63. Poll. 3, 78. idem 7, 19 *ζώτριον, ζητρεῖον.* Hesych. *ζώντιον· τὸν μύλωνα, οἷον ζεώντειον, ὅπου τὰς ζειὰς ἔκοπτον.* idem (et Photius) *ζητρεῖον· τὸ τῶν δούλων κολαστήριον.* et *ζητρόν· τὸν δημόκοινον.* Photius *ζητόρων· ζητητῶν* (cf. Lobeck. Paralip. 13). Herodian. I 372, 7 *ζήτρειον καὶ ζώτειον* (sic etiam II 459, 16). II 575, 24 *ζήτρειον.* ne quid deesse videatur addo quamvis diversa *ζάγρα* et *ζάγριον* (*τὰς βασάνους καὶ τὰς πληγάς*) Timostrati apud Bekker. Anecd. 98, 4. iudicet qui poterit.

94

θωμόν

Ἀττικοί. ὡς Ἀριστοφάνης Βαβυλωνίοις. Moeris 199. cf. fr. 217

95

λακεδαιμονιάζω

Stephan. Byz. *Λακεδαίμων· . . . λέγεται καὶ λακεδαιμονιάζω, ὡς Ἀριστοφάνης Βαβυλωνίοις.* in parabasi anapaestica poeta se ab eorum criminibus videtur defendisse, qui Lacedaemoniorum rebus eum favere dixerant.

96

ὁρκωμοτεῖν

τὸ ὀμνύναι Ἀριστοφάνης Βαβυλωνίοις. Photius. est verbum tragicum. Aesch. Sept. 46. Eum. 764. Soph. Ant. 265. Eur. Suppl. 1190. itaque ex parodia petitum videtur.

97

στίγων

Photius *στίγων, ὁ στιγματίας. Βαβυλωνίοις.* Eustathius 1542, 48 *οὕτω δὲ καὶ ὁ γράψας ὅτι στίγων καὶ πέδων δοῦλος ὁ στιγματίας καὶ πεδήτης παρὰ Ἀριστοφάνει, μετ' ὀλίγα λέγει, ὅτι τριπέδων ὁ τρίδουλος. στίγων* Dindorfius] *στιγών. γάστρων, πόσθων, γλάμων* alia comparavit Fritzschius Bab. 22. cf. Lobeck. Phryn. 195 extr. et infra fr. 837.

98

ὠτοκάταξιν

τὸν συντετριμμένον τὸ οὖς. Ἀριστοφάνης Βαβυλωνίοις. Bekker. Anecd. 116, 32. Pollux 2, 83 *ἐπὶ δὲ τῶν ἐν γυμνασίοις πληγῶν τὰ ὦτα κατεαγέναι, καὶ ὠτοκάταξις.* 4, 144 inter *κωμικὰ πρόσωπα* commemoratur *ὠτοκαταξίας.* Hesych. *ὠτοκάταξις· τὰ ὦτα τεθλασμένος.* Plat. Gorg. 515e *οἱ τὰ ὦτα κατεαγότες.* quia autem *qui Lacedaemoniis favent* Athenis teste Platone Protag. 342b *ὦτά τε κατάγνυνται μιμούμενοι αὐτοὺς καὶ ἱμάντας περιειλίττονται,* etiam in Babyloniis fr. 98 cum fr. 95 artissime coniunctum fuisse arbitror. de forma nominis cf. Lobeck. Phryn. 628, ubi per errorem *βορβοροκάταξις* pro *βορβοροτάραξις* (Eq. 308).

99

Argum. Pac. *Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως· ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ.* Cratetis verba non adduntur.

Praeter fr. 633 (cf. 66) ad Babylonios fr. 583. 637. 683. 696 rettulit Fritzschius p. 25.

ΓΕΩΡΓΟΙ

Agricolas simillimam fuisse Acharnensium et Pacis Suevernius monuit De Senectut. Arist. 29. alteram Pacis editionem esse Fritzschius censet Daetal. 131 not 71. actam esse non multo post res ad Pylum gestas, Dionysiis Ol. 88, 4 Bergkius suspicatur. cf. fr. 100.

100

Α. ἐθέλω γεωργεῖν. Β. εἶτα τίς σε κωλύει;
Α. ὑμεῖς. τί δ' εἰ δίδωμι χιλίας δραχμάς,

ἐάν με τῶν ἀρχῶν ἀφῆτε; Β. δεχόμεθα·
δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

Plutarchus Nic. 8 *καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν· οὐ γὰρ ἀσπίδος ῥῖψις ἀλλ' αἰσχιόν τι καὶ χεῖρον ἐδόκει τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμάς, αὐτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. σκώπτει δ' αὐτὸν εἰς ταῦτα Ἀριστοφάνης . . . ἐν Γεωργοῖς ταῦτα γράφων κτλ.* 2. *τί δ' εἰ — ἀφῆτε;* K.] *ἐπεὶ — ἀφῆτε.* omnis morae inpatiens agricola aliquis rus abire parat. prohibent belli continuandi auctores. '*quid vero*' inquit '*facietis, si vobis mille drachmas do?*' de particula *εἶτα* cf. Antiphan. 102. 158. Eubul. 116. Xenarch. 8. mille drachmas etiam ei solvebant qui alterum accusantes quintam suffragiorum partem non tulissent. fr. 201.

101

ὅτου δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει.
Β. ἐμοὶ μὲν ἐπὶ τὸν μολγόν· οὐκ ἀκήκοας;

Schol. Eq. 963 *ἐν τοῖς Γεωργοῖς οὕτως ἔχει. ὅτου* Brunckius] *ὅτῳ. οὕτω* Θ. aut cum Herwerdeno Nov. add. crit. 15 statuendum est in exitu eius qui praecedebat versus excidisse *εἰπέ μοι, ὅτου κτλ.* aut scribendum est *καὶ τοῦ δοκεῖ σοι κτλ.* 2. *ἐμοὶ μὲν αἴνειν μολγόν· οὐκ ἀκήκοας;* Bergkius. codices *ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι. οὐκ ἀκ.* (*οὐκ* om. Θ). at id, ut Solon. fr. 32 *ἀσκὸς δεδάρθαι*, dicendum fuisse *μολγὸν αἴνεσθαι* recte Herwerdenus monuit. Porsonus Advers. 279 simpliciter *εἶναι* eiecit, id leviter corruptum esse iudicans ex glossemate *ἰέναι*. Herwerdenus conl. fr. 694 et Eq. 963 *ἐμοὶ μὲν εἶναι μολγόν· οὐκ ἀκ.*

102

τί δῆτα τούτων τῶν κακῶν, ὦ παῖ, γλίχει;

Etymol. m. 234, 35 *γλιχόμενος· καρτερῶν ἢ ἐπιθυμῶν. Ἀριστοφάνης ἐν Γεωργοῖς κτλ.* videtur Strepsiades aliquis filium a rerum bellicarum studio revocare.

103

εἶτ' ἄρτον ὀπτῶν τυγχάνει τις ὀβελίαν.

Athenaeus 3, 111b *ὁ δὲ ὀβελίας ἄρτος κέκληται ἤτοι ὅτι ὀβολοῦ πιπράσκεται, ὡς ἐν Ἀλεξανδρείᾳ, ἢ ὅτι ἐν ὀβελίσκοις ὠπτᾶτο. Ἀριστοφάνης Γεωργοῖς κτλ. εἶτ'*] *εἶτ'* Bergkius. cf. Pherecr. 55. Hesych. *ὀβελίας ἄρτος· ὁ ἐπ' ὀβελίσκου ὀπτώμενος.* Moeris 287 *ὁ ἐπὶ τῶν ὀβελῶν ὠπτημένος.* Phot. 313, 20 *ὁ ἐπὶ ὀβελῶν ὀπτώμενος.* idem 314, 1 *ὀβελίας ἄρτος περιπεπλασμένος μακρῷ ξύλῳ καὶ οὕτως*

ὀπτώμενος· γίνεται δὲ παραμήκης καὶ γαστρώδης. recte: nam quae obolo veneunt dicuntur ὀβολιαῖα. cf. Lobeck. Phryn. 550sq.

104

ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται.

Athenaeus 11, 460d κυλικεῖον εἴρηται ἡ τῶν ποτηρίων σκευοθήκη παρὰ Ἀριστοφάνει ἐν Γεωργοῖς κτλ. fortasse facies puellae significatur, linteo obtecta ut armarium cauponae, in quo pocula adservabantur.

105

εἴ γ' ἐγκιλικίσαιμ', ἐξολοίμην, φαθὶ λέγων.

Priscianus 18, 303 φαθὶ λέγων. Ἀριστοφάνης Γεωργοῖς κτλ. *inveniuntur et nostri abundantia utentes, ut loquere dicens, et stude properans, et similia.* εἴ γ' ἐγκιλικίσαιμ' Bergk.] eirekiaMA M. ΕΙΓΕ ΚΙΜΚΙΑΣΑΙΜΑ L, κιλικίας διμα C. reliqua vide in adn. Hertzii. ex M H. Iacobi (V p. CXXIX et 60, ed. min. praef. XI) Ἀριστοφάνης Γεωργοῖς εἴρηκεν 'ἀλλ' ἐξολοίμην, φαθὶ λέγων'. at dicere 'dispeream' non facile quisquam iubetur nisi addita condicione, qua mortem obire paratus sit. de verbo ἐγκιλικίζειν cf. Pherecr. 166. hic quid significare possit nescio, neque Bergkii coniectura, quamquam ingeniosissimam dicit Hertzius, versum sanatum esse credo.

106

καχέτας καὶ Μεγακλέας καὶ μαλακούς

Suidas Ἀτρέα καὶ καθόλου τὰς ἀπὸ τῶν εἰς ευς συμφώνῳ παραληγομένων αἰτιατικὰς μηκύνουσι, τὰς δὲ καθαρὰς τοῦ ευς συναιροῦσι χοᾶ καὶ Μηλιᾶ καὶ Σουνιᾶ . . . τὸ γὰρ συστέλλειν Ἰακόν· Ἀριστοφάνης Γεωργοῖς κτλ. Hermannus κατεύχεται καὶ Μεγακλέας καὶ μαλθακούς, hominem rusticationis studiosum dici existimans, Bernhardyus κατέχεσα καὶ Μεγακλέα κάλκμαιωνίδας, et versu vitioso et syntaxi, Bergkius ⏑ ‒ Λάχητας, Μεγακλέας καὶ Λαμάχους. at Suidas accusativi singularis formam inlustrat, non pluralis. ⏑ ‒ Λάχητα, Μεγακλέα κἄλλους ⏑ ‒ Dindorfius Poet. scen. p. 197. fortasse (μισῶ) Λάχητα, Μεγακλέα καὶ Λάμαχον. et *Laches* quidem notus vel ex Platonis dialogo, *Lamachus* ex Acharnensibus, *Megacles*, cum Lamacho coniunctus etiam Ach. 614, ex Nubium prologo.

107

ἐξ ἄστεος νῦν εἰς ἀγρὸν χωρῶμεν· ὡς πάλαι δεῖ
ἡμᾶς ἐκεῖ 'ν τῷ χαλκίῳ λελουμένους σχολάζειν.

Pollux 9, 69 χαλκίον . . . ἐν τοῖς Ἀριστοφάνους Γεωργοῖς σαφῶς ἐπὶ λουτροῦ εἰρημένον κτλ. ἄστεος — δεῖ — χαλκίῳ λελου·

μένους σχολάζειν Porson. Hecub. praef. XLI] *ἄστεως* — *δι'* — *χαλκῷ ἐλλουσάμενον κολάζειν.* *'ν* add. K.: nam *λοῦσθαι ὕδατι* Graeci dicunt, sed *λοῦσθαι ἐν πυέλῳ* cet. cf. fr. 360. Lys. 574. Lucian. Lexiph. 4 *δέος μὴ ἐν λουτρίῳ ἀπολουσώμεθα.* chori sunt verba in extrema fabula pace recuperata ex urbe discedentis.

108

συκᾶς φυτεύω κάρτα πλὴν Λακωνικῆς·
τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν·
οὐ γὰρ ἦν ἂν μικρόν, εἰ μὴ μισόδημον ἦν σφόδρα.

Athenaeus 3, 75a *Λακωνικοῦ δὲ σύκου μνημονεύει ἐν Γεωργοῖς Ἀριστοφάνης ταδὶ λέγων κτλ.* et paullo post (d) *ἐπὶ δὲ τὸ πλεῖστον αἱ κόλουροι καὶ φορμύνιοι καὶ δίφοροι καὶ Μεγαρικαὶ καὶ Λακωνικαὶ συμφέρουσιν, ἐὰν ἔχωσιν ὕδωρ.* 1. *κάρτα* K.] *πάντα.* *πάνυ τι* Meinekius in Athenaeo, cf. Anal. 37. at id sententiis negativis convenit. *κάρτα* Ach. 544. Av. 341. Amips. 22, 5. loqui videtur alter Dicaeopolis. cf. Ach. 509sq. *μικρόν* dicit esse *σῦκον Λακωνικόν*, quia *μισόδημοι* sunt *οἱ ὀλίγοι.*

109

Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν,
εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαι κἀποκλάσαι τε καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φαγόντι.

Stobaeus Flor. 55, 2 *Ἀριστοφάνους Γεωργῶν.* Arsenius *Ἀριστοφάνους νήσων.* 1. *βοεικόν* Dindf.] *βοϊκόν.* 2. *τοῦ* om. A. 3. *σκάψαι* Dindf.] *σκάψαντ'.* *σκάψαι τ'* Voss. Vind. Ars. Trinc. *κἀποκλάσαι* Dindf.] *ἀποκλάσαι.* *ἀποκλᾶσαι τε* B. *ἐχθρὰν στάσιν τ' ἀποκλάσαι* A, quod inrepsit ex Euripidis fragmento huic apud Stobaeum proximo. *ἀποκλάσαι* est *amputare vites.* *φαγόντι* Herwerd. Nov. add. crit. 14] *φέροντι.* *διελκύσαι* metro adversatur, Bergkii *διέλξαι* est forma Atticis inusitata. scribendum est *'πολαῦσαι*, i. e. *ἀπολαῦσαι*, cf. Antiph. 44, 4. 80. Amphid. 26. Aristophont. Athen. 6, 238c. Diodor. com. 2, 19. librarios obscurior aphaeresis forma decepit. admodum modeste chorus cupit: agrum arare vult et post laborem bibere, non potare. imitatur autem Euripidem, qui Cresphont. fr. 462 N. *Εἰρήνα βαθύπλουτε καλλίστα μακάρων θεῶν, ζῆλός μοι σέθεν, ὡς χρονίζεις κτλ.* cf. Pac. 346.

110

ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,
χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.

Hephaestio 13, 3 *ἐκ τῶν Ἀριστοφάνους Γεωργῶν κτλ.* Marc. Aurel. 4, 23 *ἐκεῖνος μὲν φησι· πόλι φίλη Κέκροπος.* cf. Plut. 772 *σεμνῆς Παλλάδος κλεινὸν πέδον.* chorus belli malis se liberatum esse gaudet.

111

ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.

Hephaest. 13, 4 *ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἐποίησε τὸν τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου . . . ἐν ἀγορᾷ κτλ.* quartus paeon pro primo est *ἐν ἀγορᾷ.* ex eodem cantico ex quo fr. 110. *διαφυτεύσομεν* corruptum est. nam *διαφυτεύειν* aut *arborem in alium locum transferre* aut *agrum arboribus conserere* significat. scribendum est utique *πλάτανον, Εὔιε, φυτεύσομεν.* cf. Ecphant. 3. Cratin. 324. quid sit Euhio cum platano facile Horatius docebit Carm. 2, 11, 13. cf. 2, 3, 9.

112

Suidas *τοῖς Ἱπποκράτους υἱέσιν· οὗτοι δ' ὡς ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο· καὶ τάχ' ἂν ἦσαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς φησι καὶ ἐν Τριφάλητι.* cf. Eupol. 103.

113

Schol. Av. 1701 *τοῦ δὲ Φιλίππου καὶ ἐν Γεωργοῖς μνημονεύει Ἀριστοφάνης.* Vesp. 421 Gorgiae discipulus dici videtur (*Φίλιππον τὸν Γοργίου*).

114

Schol. Platon. 330 Bekker. *Μέλητος τραγῳδίας φαῦλος ποιητής . . . ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται* (*Ἀριστοφάνης*). Bergkius *ὡς Καλλίου περαίνοντος αὐτόν.* nam aetate minor fuit Callia. cf. Ran. 1302. fr. 149, 10. 438. Sannyr. 2.

115

Zenobius 2, 27 *αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον· μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς καὶ Πλάτων ὁ κωμικός. ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθουμένων.* scribendum est initio cum Meinekio II 689 *ἐν τῷ Μελιτέων*, deinde *λείπει* (*τῷ*) *οἴκῳ*, in exitu autem cum Bergkio *εἰς ὑποδοχὴν τραγῳδῶν μισθούμενος.* cf. Plat. 213. Bekker. Anecd. 281, 25 *Μελετῶν* (scr. *Μελιτέων*) *οἶκος, ἐν ᾧ οἱ τραγῳδοὶ ἐμελέτων.* Photius *Μελιτέων οἶκος· ἐν τῷ* (*Μελιτέων*) *δήμῳ παμμεγέθης ἦν οἶκος, εἰς ὃν οἱ τραγῳδοὶ φοιτῶντες ἐμελέτων.* similia Hesych. cf. Wachsmuth. Athen. I 215. 6 adn 2—4.

116

Schol. Platon. 369 Bekk. *καλὰ δὴ παταγεῖς*· *ἀντὶ τοῦ ἀγγέλλεις*· *ἐπὶ τῶν αἴσια ἀγγελλόντων*· *πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς. παταγεῖς* Bergk. ap. Meinek. V p. CXXIX] *πάντ' ἄγεις*. cf. Cobet. N. l. 163. Hesych. *καλὰ δὴ παταγεῖς*· *καλὰ λαλεῖς*. Photius *καλὰ δὴ παταγεῖς*· *ἀντὶ τοῦ λέγεις*.

117

ἀγαθήν γε κωδίαν

Harpocratio *κωδία*· *τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν*· *Ἀριστοφάνης Γεωργοῖς κτλ.*

118

ἀπυρήνων

Athenaeus 14, 650e *τῶν γὰρ ἀπ.* (*ῥοῶν*) *Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει.*

119

ἐλαΐζειν

τὰς ἐλαίας ἐργάζεσθαι. Γεωργοῖς Ἀριστοφάνης. Etymol. m. 326, 20.

120

μετόρχιον

Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς. Etym. m. 634, 38. cf. Pac. 568. perperam *μετόρχμιον* Schol. Theocr. 1, 48. Pollux 7, 145 *μετόρχιον καλεῖται τὸ μεταξὺ τῶν πεφυτευμένων, ὧν ὁ στίχος ὄρχος ὀνομάζεται.*

121

πορνεύτριαν

ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἔφη. Pollux 7, 201.

122

Σηράγγιον

χωρίον τι τοῦ Πειραιως οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης Γεωργοῖς. Harpocrat. Photius *Σηράγγειον*· *τόπος τοῦ Πειραιῶς, κτισθεὶς ὑπὸ Σηράγγου. καὶ ἡρῷον ἐν αὐτῷ.* Hesych. *Σηράγγιον*· *βαλανεῖον.* cf. Schoemann. Isae. p. 339.

123

Στρεψαίους

Ἀριστοφάνης Γεωργοῖς. Photius. idem *Στρέψα*· *πόλις τῆς Θρᾴκης*· *καὶ οἱ πολῖται Στρεψαῖοι.* Cramer. Anecd. Ox. II 53, 14 *Στρεψαῖος ὁ Ἑρμῆς, παρὰ τῷ Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις.* ad-

paret poetam similiter lusisse ut Eq. 78. 9. *Στρεψαῖοι* in Kirchhoff. I. Att. 337. 226. 229. 231. 233 cet. cf. fr. 860.

124

τραπεζοφόρον

ἐν τοῖς Ἀριστοφάνους Γεωργοῖς . . . ἐπὶ τοῦ τὴν τράπεζαν φέροντος, ᾗ ἐπῆσαν τοῖς ἄρχουσιν αἱ μυρρίναι. Pollux 10, 69.

ΓΗΡΑΣ

Actam esse Suevernius in dissertatione quam de hac comoedia scripsit Dionysiis Ol. 89, 2, Bergkius inter Vespas et Aves (Ol. 89, 2 et 91, 2) censet. cf. etiam Wilamowitz Obs. crit. 10. at ea opinio nunc magnopere infirmatur eis quae nuper Fraenkelius (Att. Geschworenenger. p. 106) de iudicum sortitione ante Euclidem non commemorata (fr. 146) disputavit. cf. etiam Bamberg. Herm. XIII 588. Wachsmuth. Mus. Rh. XXXIIII 614. — argumentum cognoscitur ex Athen. 3, 109f (fr. 125). chorus ipse videtur fuisse senum qui serpentum in modum exuta senectute iuventutem recuperaverant. quo facto multa iuvenilis petulantiae et protervitatis documenta dederunt, ut Philocleo. videtur igitur haec comoedia aliquam et cum Vespis et cum Amphiarao Equitibusque similitudinem habuisse.

125

A. τουτὶ τί ἦν τὸ πρᾶγμα; B. θερμούς, ὦ τέκνον.
A. ἀλλ' ἦ παραφρονεῖς; B. κριβανίτας, ὦ τέκνον,
λευκοὺς δὲ πάνυ.

Athenaeus 3, 109f *κριβανίτην· τούτου μνημονεύει Ἀριστοφάνης ἐν Γήρᾳ· ποιεῖ δὲ λέγουσαν ἀρτόπωλιν διηρπασμένων αὐτῆς τῶν ἄρτων ὑπὸ τῶν τὸ γῆρας ἀποβαλλόντων κτλ.* *ἀλλ' ἦ* Brunckius] *ἀλλὴ* A. post *κριβανίτας* codices, etiam A (cf. Dindf. Philol. XXX 84), addunt *πάνυ λευκούς*, praeterea *δὲ* post *κριβανίτας* BD, post *πάνυ* P. unde Dindorfius tertium versum effinxit *A. τί κριβανίτας; B. πάνυ δὲ λευκούς, ὦ τέκνον.* Schweighaeuserus tertii versus partem *λευκοὺς πάνυ* addiderat. scaena est simillima Vesp. 1387 sq. *τὸ γῆρας ἀποβάλλειν* idem est atque *τὸ γῆρας ἐκδύεσθαι* Pac. 336, ubi schol. *ἡ μεταφορὰ ἀπὸ τῶν ὄφεων.* cf. fr. 35. *ἀποσείσασθαι τὸ γῆρας* Lys. 670. cf. Ran. 346. panes se emere velle simulant senes repuerascentes. *θερμούς*, i. e. *ἄρτους δός.*

126

ὁ δὲ μεθύων ἥκει παρὰ τοὺς ἀρχηγέτας.

Bekker. Anecd. 449, 14 *ἀρχηγέται· ἡγεμόνες οἱ ἐπώνυμοι τῶν φυλῶν· Ἀριστοφάνης Γήρᾳ κτλ.* *ἥκει* Bekker.] *ἥκεις.* Hesych. *ἀρχηγέται· ἥρωες ἐπώνυμοι τῶν φυλῶν . . ἐν Ἀθήναις.* sic Plat. Lys.

205 d *ἀρχηγέτης* Aexonensium pagi et Soph. OC. 60 *ἀρχηγὸς Κολωνοῦ* commemoratur. narrantur quae unus ex senibus lascivientibus fecerat.

127. 128

πτωχικοῦ βακτηρίου.
βακτηρία δὲ Περσὶς ἀντὶ καμπύλης.

Pollux 10, 173 *ἐν Γήρᾳ· πτ. β. καὶ βακτηρία δὲ κτλ. πτωχικοῦ βακτηρίου* Ach. 448, sed facillime eisdem vocibus in duabus comoediis uti poterat. pro incurvo rusticorum hominum baculo senes iam Persicum, quod erat elegantiorum, adscivisse dicuntur. Etym. m. 185, 56 *βακτηρία, ἣν ἐκάλουν ὀρθήν. ἐχρῶντο δὲ αὐτῇ οἱ ἐν περιουσίᾳ . . . τῇ δὲ καμπύλῃ οἱ ἄγροικοι* (Bergk.). neque enim cum Wachsmuthio Mus. Rh. XXXIIII 614 baculum iudicum dici arbitror.

129

ὀφθαλμιάσας πέρυσιν εἶτ' ἔσχον κακῶς,
ἔπειθ' ὑπαλειφόμενος παρ' ἰατρῷ —

Pollux 4, 180 *Ἀριστοφάνης ἐν τῷ Γήρᾳ φησίν κτλ.* nihil hic figurate accipiendum videtur, quod moneo propter Suevernium p. 78.

130

ὀξωτά, σιλφιωτά, βολβός, τεύτλιον,
περίκομμα, θρῖον, ἐγκέφαλος, ὀρίγανον,
καταπυγοσύνη ταῦτ' ἐστὶ πρὸς κρέας μέγα.

v. 1. 2 Pollux 6, 69 *ὁ δ' Ἀριστοφάνης ἐν τῷ Γήρᾳ λέγει· ὀξωτά — ὀρίγανον.* v. 3 addidit Diogenes Laert. 4, 18 *ἦν οὖν ἀστεῖός τις (Πολέμων) καὶ γενναῖος, παρῃτημένος ἅ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου, ὀξωτὰ καὶ σιλφιωτά, ἅπερ, ὡς αὐτός φησι· καταπυγοσύνη κτλ.* Suidas *ὀζωτά. Ἀριστοφάνης περὶ Εὐριπίδου φησίν· ὀζωτὰ καὶ στιλφωτά, ἅπερ ὡς αὐτός φησιν, καταπυγοσύνη κτλ.* non bene haec latine redduntur neque apud Huebnerum neque apud Cobetum (in ed. Diog.). hoc dicit: locutionem Euripidis, tamquam cenam aceto et laserpitio artificiose conditam (cf. Eq. 372), ut nefandam ac libidinosam prorsus contemnendam esse prae cibo simplici ac valido. haec enim est significatio verborum *κρέας μέγα* (*ein tüchtiges Stück Fleisch.* Eubul. 7, 8. Philetaer. 9), in quibus nescio quid obscaeni frustra odorati sunt harum rerum amatores. dubitari vix potest quin ipsum Aeschylum eis verbis significet.

131

Α. τίς ἂν φράσειε ποῦ 'στι τὸ Διονύσιον;
Β ὅπου τὰ μορμολυκεῖα προσκρεμάννυται.

Phrynichus Epit. 367 *Διονύσιον· ἀπαίδευτον οὕτω λέγειν, δέον βραχύνειν τὴν σι συλλαβήν· οἱ γὰρ ἐκτείνοντες παρὰ τὴν τῶν Ἀττικῶν διάλεκτον λέγουσι. χρὴ οὖν Ἀριστοφάνει ἀκολουθοῦντας λέγειν. ἐν γὰρ τῷ Γήρᾳ φησί κτλ.* Etym. m. 590, 52 *μορμολυκεῖον, προπερισπᾶται. ἔστι προσωπεῖον ἐπίφοβον. Ἀριστοφάνης Γήρᾳ.* Phrynichus non formam *Διονύσιον*, sed *Διονύσειον* reprehendit, quod recte monuerunt Dindorfius et Cobetus Mnem. X 84. cf. *Ἀπολλώνιον, Ποσειδώνιον, Δημήτριον, Κρόνιον, Διοσκόριον, Λεωκόριον, Θεσμοφόριον* (Lobeck. p. 368. 9), quibus *Ἀρτεμίσιον, Ἀφροδίσιον* addit Cobetus. cf. fr. 161. 'in Dionysio autem videntur variae personae, artis quasi simulacra quaedam, adfixa fuisse, nescioque an ibidem fuerit ipsius Bacchi facies. Athen. 12, 533c *ὁ δὲ Πεισίστρατος καὶ ἐν πολλοῖς βαρὺς ἐγένετο, ὅπου καὶ τὸ Ἀθήνησι τοῦ Διονύσου πρόσωπον ἐκείνου τινές φασιν εἰκόνα.*' Bergk. *προσκρεμάννυνται* mire dictum videtur; nam non suspenduntur, sed suspensae sunt personae. an *προσκρέμαται*? cf. Hermipp. 55. Cratin. 164, 4. ceterum *φράσει' ὅπου* Hirschig. Philol. V 276.

132

ἔδει δέ γέ σε βληθεῖσαν εἰς Ἁλμυρίδας
. . . τῃδὶ μὴ παρέχειν σε πράγματα.

Bekker. Anecd. 383, 16 *Ἁλμυρίδες· τόπος τις περὶ τὰς ἐσχατιὰς τῆς Ἀττικῆς. Ἀριστοφάνης Τηρεῖ κτλ. βληθεῖσαν*] *ἐκβληθεῖσαν* Bergkius. *ἔδει δέ γ' ἐκβλ.* K. 2. *γυναικὶ τῃδὶ* Bergkius. *Τηρεῖ*] *Γήρᾳ* Seidlerus, recte, ut videtur, quamquam retineri potest *Τηρεῖ*, si *Ἀριστοφάνης* commutetur in *Ἀναξανδρίδης*. Hesych. *Ἁλμυρίδες· αἰγιαλοί· καὶ τόπος ἐν τῇ Ἀττικῇ παρὰ τὰς ἐσχατιάς, οὗ τοὺς νεκροὺς ἐξέβαλλον.* Herodian. I 530, 12 (II 15, 15) *ἐπεὶ τὸ ἁλμυρός ἔχει τὴν τρίτην ἀπὸ τέλους μακράν, ὑγιῶς ἕξει καὶ τὴν πρὸ τέλους μακράν. ἀναλογώτεροι οὖν οἱ Ἀττικοὶ ἐκτείνοντες αὐτό*, quod in *ἁλμυρός* quidem non fecerunt. cf. Lobeck. Pathol. prol. 273 not. 45. Boeckh. C. I. I 103 identidem *Ἁλμυρίδα* et *ἐν τῇ Ἁλμυρίδι*, itaque fortasse etiam Aristophani restituendum *Ἁλμυρίδα*. partem planitiei eius quae *Ἁλίπεδον* dicebatur fuisse arbitratur Bursianus Geogr. gr. I 264 adn. 3. — videtur senex aliquis novae nuptae aedes vacuas facere priore uxore expulsa.

133

ἐπὶ τοῦ περιδρόμου στᾶσα τῆς συνοικίας

Pollux 9, 39 *καὶ τὸ μὲν πλῆθος τῶν οἰκοδομημάτων οἰκίαι καὶ συνοικίαι καὶ οἰκίας περίδρομος, ὡς ἐν τῷ Γήρᾳ Ἀριστοφάνης κτλ.* idem 7, 125 *ἐκ τοῦ περιδρόμου.* de *συνοικίᾳ* Boeckh. Oec.[2] I 93. 4. Eq. 1002. lenam aliquam significari existimat Suevernius p. 17.

134

Α. σὺ δ' οὐκ ἐγήμω; Β. νὴ Δί', ὀλίγας ἡμέρας.

Priscianus 18, 246 *Attici ὀλίγας ἡμέρας pro ἐν ὀλίγαις ἡμέραις. similiter nos. Aristophanes Γήρᾳ κτλ.* σὺ δ' οὐκ ἐγήμω ante C. F. Hermannum M. Hauptius. cf. quae Hertzius adnotavit. CT ΔΟΥΚΕΓΗΙΜΟΥ VRM. post ὀλίγας Atticorum consuetudine addendum γ'. unum ex senibus ab aequali interrogari cur nondum uxorem duxerit interpretatur Bergkius. non credo. nam γήμασθαι mulierum est. cf. fr. 142. quae contra dicere videtur Antiatticista Bekkeri 86, 14, ea admodum dubia sunt.

135

ἐγὼ δ' ἀπολοπίζειν τε κἆτ' ἐπ' ἀνθράκων —

Bekker. Anecd. 430, 15 *ἀπολογίσασθαι· καὶ ἀπολογίζειν τὸ ἐπεξελθεῖν ἕκαστα. Ἀριστοφάνης ἐν τῷ θ* (o H. Iacobi recte) *Γήρᾳ κτλ. ἐγὼ δ' ἀπολογίζειν κτλ.* egregie H. Iacobi (V 61) excidisse *ἀπολοπίζειν* (i. e. *desquamare*) coniecit et versum Aristophanis ad hoc ipsum, non ad *ἀπολογίσασθαι* pertinere. ac sic fere iam Fritzschius Daetal. 106. Bekker. Anecd. 25, 26 *ἀπολοπίζειν· διὰ τοῦ ο τὴν τρίτην, οὐ διὰ τοῦ ε (ἀπολεπίζειν).* cf. Antiphan. 127. *ἐγὼ δ'*] *ἐγῷδ'* Fritzschius et Dindorfius, quod non necessarium est: nam sententia non finitur. excidit *δοκῶ μοι* vel *δεῖν οἴομαι. ὀπτᾶν* addit Cobetus N. l. 12. cf. fr. 68. Cratin. 143, 2. eodem iure conicias *φρύγειν*, quod ex cotidiana vitae consuetudine omitti potuisse censet Bergkius conl. Herodian. Piers. 450 *ἀπανθρακίσαι· τὸ ἐπὶ τῶν ἀνθράκων, ὅπερ οἱ Δωριεῖς ἐκπυρίσαι λέγουσιν.* loquitur nescio quis de piscibus adparandis ut *ἐπανθρακίδες* fiant. Ach. 670. Vesp. 1127.

136

ὑδρίαν δανείζειν πεντέχουν ἢ μείζονα

Pollux 10, 74 *ἐν δὲ τῷ Γήρᾳ ἔφη κτλ. ὥστε οὐ μόνον ὕδατος, ἀλλὰ καὶ οἴνου ἂν εἴη ἀγγεῖον ἡ ὑδρία.*

137

ταῖς πολιόχρωσι βεμβράσιν τεθραμμένη

Athenaeus 7, 287d *Ἀριστοφάνης Γήρᾳ.* dicitur mulier aliqua manifesto Attica esse utpote cibo Attico nutrita. cf. Phryn. 50.

138

κοπίδι τῶν μαγειρικῶν

Pollux 10, 104 *ἐν τῷ Γήρᾳ ὁ αὐτὸς ποιητὴς (Ἀριστοφάνης) εἴρηκεν.*

139

εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.

Schol. Eq. 580, Schol. Plat. 334 Bekk., Photius, Suidas *στλεγγίς· ἡ ξύστρα, καὶ στλεγγιζόμενος, ἀποξυόμενος. καὶ ἀλλαχοῦ Γήρᾳ κτλ. δεῖ σφαῖραν*] *δεισφέρων* cod. Phot. pedisequum, puerorum nobilium comitem, palaestrae instrumenta pilamque portantem dici monuit Suevernius.

140

λορδοῦ κιγκλοβάταν ῥυθμόν

Aelian. N. an. 12, 9 *κίγκλος . . . μέμνηται δὲ τοῦ ὄρνιθος τούτου Ἀριστοφάνης . . . ἐν τῷ Γήρᾳ κτλ. λορδοῦ* Brunck.] *λόρδου*. cf. fr. 29. versus est glyconeus.

141

ὦ πρεσβῦτα, πότερα φιλεῖς τὰς δρυπετεῖς ἑταίρας
ἢ σὺ τὰς ὑποπαρθένους, ἁλμάδας ὡς ἐλάας,
στιφράς;

Athenaeus 4, 133 a *ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστόμωσιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις, ἃς κολυμβάδας καλοῦσιν. Ἀριστοφάνης γοῦν ἐν Γήρᾳ φησὶν κτλ.* 2. *ἢ σὺ* Bergk.] *ἤ*. *δρυπετεῖς*. cf. Chionid. 7. *ἁλμάδας*. Hermipp. 81. Bergkio lena senem adloqui videtur, quem etiam recuperata iuventute agnoverat. *πότερα φιλεῖς* choriambus est soluta arsi, ut Anacr. 24 *ἀναπέτομαι*.

142

ἀποπλευστέ' οὖν ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι
τήμερον.

Schol. Nicandr. Theriac. 295 *πλόον τὴν ὁδὸν τὴν πεζήν, τὴν πορείαν . . . καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην παράγει τινὰ ἐρῶντα αὐτῆς, ἢ καὶ ἐρεθίζουσά φησι πρὸς αὐτὸν κτλ. ἀποπλευστέ' οὖν* Bergk.] *ἀπέπλεισε τεόν. ἀπέπλεις τεὸν* cod. Paris. *τήμερον* Brunck.] *σήμερον*. eodem metro composita et ex eadem fabulae parte haec desumpta sunt ac fr. 141. loqui autem videtur nova nupta senis illius, qui fr. 132 priorem uxorem expulerat.

143

Μελιτέα κάπρον

Ἀριστοφάνης ἐν Γήρᾳ λέγει ἀντὶ τοῦ Εὐκράτης. ἐπεὶ δασύς ἐστι· καὶ γὰρ ἄρκτον αὐτὸν ἔλεγον ἢ ὅτι μυλῶνας εἶχεν, ἐν οἷς

ἐτρέφοντο σῦς. Photius. similia, sed corrupta Hesychius *Μελιτεὺς κάπρος*. apud Photium *Μελιτέα κάπρον* — *ἄρκτον* Porson.] *Μελιτέας: κάπρον* — *ἄριστον* cod. de *Eucrate* cf. Eq. 129 et Bergkium p. 1003 sq. si post Euclidem fabula docta sit, *στυππειοπώλην* dici non posse censet Wachsmuth. Mus. Rh. XXXIIII 614.

144

καλαμίνους αὐλούς

Pollux 10, 173, ubi haec cum fr. 127. 128 coniuncta leguntur. itaque dubium esse non potest quin ipsa quoque ad Senectutem pertineant. idem 10, 153 *καλαμίνους αὐλοὺς Ἀριστοφάνης ἔφη*.

145

καταλαλεῖν

Ἀριστοφάνης Γήρᾳ. Bekker. Anecd. 102, 15. Pollux 2, 125 *καὶ τὸ καταλαλεῖν παρὰ Ἀριστοφάνει*. cf. Ran. 752.

146

κληρωτήριον

εἰ γὰρ καὶ ἐπὶ τοῦ τόπου ἔοικεν εἰρῆσθαι τοὔνομα ἐν τῷ Γήρᾳ Ἀριστοφάνους, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου ἂν ἐναρμόσειεν. Pollux 10, 61. Bekker. Anecd. 47, 13 *κληρωτήρια, ἔνθα κληροῦνται οἱ δικασταί*. cf. quae ad titulum fabulae adnotavimus.

147

σκάφιον

εἶδος κουρᾶς. Ἀριστοφάνης Γήρᾳ. Harpocrat. Eustath. 1292, 61. cf. quae adnotavi ad Av. 806.

148

τῆτες

ἀντὶ τοῦ τούτῳ τῷ ἔτει . . . Ἀριστοφάνης Γήρᾳ. Harpocrat. Ach. 15. Nub. 624. Vesp. 400.

ΓΗΡΥΤΑΔΗΣ

Nomen etsi a verbo *γηρύειν* facile derivatur, ut *Χαιρητάδης* a *χαίρειν*, quid significet ignoramus. argumentum fabulae inlustratur fr. 149. 150. in tantis post mortem Sophoclis Euripidisque artis scaenicae angustiis qui superstites sunt poetae quanto inferiores sint magnis illis antiquis sibi conscii legatos in orcum mittere decernunt, ut a mortuis artis principibus consilium auxiliumque petant. est igitur fabula similis Ranarum et eodem fere tempore composita.

149. 150

Α. καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
ἔτλη κατελθεῖν; Β. ἕν' ἀφ' ἑκάστης τῆς τέχνης
εἱλόμεθα κοινῇ γενομένης ἐκκλησίας,
οὓς ᾔσμεν ὄντας ᾳδοφοίτας καὶ θαμὰ
ἐκεῖσε φιλοχωροῦντας. Α. εἰσὶ γάρ τινες
ἄνδρες παρ' ὑμῖν ᾳδοφοῖται; Β. νὴ Δία
μάλιστά γ'. Α. ὥσπερ Θρᾳκοφοῖται; Β. πάντ' ἔχεις.
Α. καὶ τίνες ἂν εἶεν; Β. πρῶτα μὲν Σαννυρίων
ἀπὸ τῶν τρυγῳδῶν, ἀπὸ δὲ τῶν τραγικῶν χορῶν
Μέλητος, ἀπὸ δὲ τῶν κυκλίων Κινησίας.

* * * *

Α. ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ' ἄρα.
τούτους γὰρ ἢν πολλῷ ξυνέλθῃ ξυλλαβὼν
ὁ τῆς διαρροίας ποταμὸς οἰχήσεται.

Athenaeus 12, 551a *καὶ Ἀριστοφάνης δὲ ἐν Γηρυτάδῃ λεπτοὺς τούσδε καταλέγει, οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησιν εἰς Ἅιδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητάς, λέγων οὑτωσί· καὶ τίς — Κινησίας. εἶθ' ἑξῆς φησιν· ὡς σφόδρ' ἐπὶ κτλ.* cf. Aelian. V. h. 10, 6. *οὑτωσί· καὶ τίς*] *οὕτως εἰ καὶ τίς* A. 2. *ἕν' ἀφ'* Dindorf.] *ἕνα δ' ἀφ'*. *τῆς τέχνης* Toupius Emend. II 346] *τέχνης*. 'fortasse praestat *ἕνα γὰρ ἀφ' ἑκάστης τέχνης*.' Bergk. 4. *οὓς ᾔσμεν ὄντας* Tyrwhittus ad Toup. IIII 424] *οὐ ση μένοντας* P. *οὐ σημένοντας* V. *ᾳδοφοίτας* Dindorf.] *αἰδοφοίτας* et sic 6 *αἰδοφοῖται*. 9. *τρυγῳδῶν* Bentlei. Phalar. 319 Lips.] *τραγῳδῶν*. 10. *κυκλίων* Bentl.] *κυλίκων* A. *κυκλικῶν* VL et marg. P. 11. *ὠχεῖσθ'* L] *ὤχεσθ'* A. 12. *πολλῷ* A] *πολλῶν* VL. *πολὺς* Bergkius, conl. Horat. Serm. 1, 7, 28. Aesch. Sept. 80. *ἢν ποτ' ὀξὺς ἔλθῃ* Madvig. Philol. I 677. 13. *οἰχήσεται* Dawes Miscell. 568 ed. Kidd.] *ἐξοιχήσεται*. *ἐξοίσεται* Boissonadius.

v. 1 parodia est exordii Hecubae Euripideae *ἥκω νεκρῶν — πύλας λιπών*. v. 6—8 ita scribendos esse arbitror: *Β. νὴ Δία μάλιστά γ' ὥσπερ Θρᾳκοφοῖται. Α. πάντ' ἔχω. καὶ τίνες ἂν εἶεν; Β. κτλ.* cf. quae ad Av. 1460 adnotavimus. Plat. Protag. 329b *σμικροῦ τινος ἐνδεής εἰμι πάντ' ἔχειν*. cum v. 11 cf. Eq. 1244. v. 12 nulla emendatio sufficit adhuc nota. nemo umquam poeta dixit *ποταμὸς ἀνθρώποις ξυνέρχεται*. scribendum est utique *τούτους γάρ, ἢν πολλοὶ ξυνέλθωσιν, λαβὼν κτλ.* pauci tales prorsus negleguntur; at *si multi convenerint, diarrhoeae fluvius*, qui ad similitudinem Cocyti et aliorum apud inferos fluminum fingitur, *prehensos abripiet*. electi autem sunt legati ignavissimi quique et qui habitu corporis iam mortui esse viderentur. Hesych. *αἰδοφοῖται*·

οἱ λεπτοὶ καὶ ἰσχνοί, καὶ ἐγγὺς θανάτου ὄντες. de *Meleto* cf. fr. 114, de *Cinesia* Pherecr. 145, 8, de *Sannyrione* comico Meinek. I 263.

151

Α. καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα;
Β. εἰς ὄξος ἐμβαπτόμενος ἢ ξηροὺς ἅλας.

Schol. Vesp. 1312 *Σθένελος δὲ τραγικός, ὃς διὰ πενίαν τὴν τραγικὴν σκευὴν ἀπέδοτο κακῶς πράττων ἐν τῇ τέχνῃ. περὶ τούτου γέγραπται ἐν Γηρυτάδῃ κτλ. οὗτος δ' ἐλαύνων ἐπὶ τοῖς τείχεσιν ἐνδεικνύμενος διεχλεύαζε* (*διεχλευάζετο*?). Athenaeus 9, 367 b *ἁλῶν δὲ καὶ ὄξους μέμνηται ὁ καλὸς Ἀριστοφάνης ἐν τοῖς περὶ Σθενέλου τοῦ τραγικοῦ λέγων κτλ.* v. 2 etiam Pollux 6, 65. *ῥήματα* Schol.] *ῥῆμα* A Athen. *ξηροὺς* Schol.] *λευκοὺς* Athen. *λεπτοὺς* Pollux. conloquuntur nescio qui, ut in Ranis Bacchus et Hercules, de tragicorum virtutibus et vitiis. quae de *Sthenelo* Vesparum scholia narrant, fortasse e Gerytade (cf. Av. 1127 sq.) fluxerunt. cf. de eo interpr. Vesp. 1312 et Plat. fr. 128.

152

τότε μὲν . . . σου κατεκοττάβιζον ἄν,
νυνὶ δέ σου κατεμοῦσι, τάχα δ' εὖ οἶδ' ὅτι
καὶ καταχέσονται.

Pollux 6, 111 *οὐ μὲν εἴποι ἄν τις τὸ κοτταβίζειν ἐφ' οὗ νῦν, ἀλλὰ ἐμεῖν ἢ ἀποβλύζειν. πλὴν εἴ τις παίζων βούλοιτο οὕτως ὑποπτεύειν τὸ ἐν τῷ Γηρυτάδῃ ὑπ' Ἀριστοφάνους εἰρημένον κτλ.* 1. *ἄν* et 2 *σου* add. Bergkius. potuit etiam scribi *νυνὶ δ' ἀ μ έ λ ε ι.* in v. 1 praeterea *Διόνυσε* post *μέν* Bergkius inserit, *γάρ, ὦ 'τάν* Herwerd. Nov. add. crit. 16. Bacchum adpellari non inprobabile est; attamen ut in Ranis iterum eum in Gerytade in scaenam inductum esse non credo. itaque fortasse *τ ά λ α ι ν α*, i. e. Poesis. extrema ad Cinesiam pertinere Bergkius monuit. cf. Ran. 366 et 95.

153

ἐν τοῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον

Athenaeus 8, 365 b *Ἀριστοφάνης Γηρυτάδῃ. τοῖσι* Dindf.] *τοῖς.* cf. Nub. 1365. 6.

154

θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν.

Athenaeus 3, 99 f *Ἀριστοφάνης ἐν Γηρυτάδῃ.* aliquis ex antiquis poetis, fortasse Euripides, unum ex recentioribus, nimis macilentum iubetur monodiis suis curare et firmare. cf. Ran. 939—944,

155

ἥκω Θεαρίωνος ἀρτοπώλιον
λιπών, ἵν' ἐστὶ κριβάνων ἑδώλια.

Athenaeus 3, 112e *Θεαρίων ὁ ἀρτοποιός, οὗ μνημονεύει . . . Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων κτλ.* cf. fr. 1. 149, 1.

156

ἆρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;
ὡς μὲν γάρ ἐστε νήστιδες, γιγνώσκεται.

Athenaeus 7, 307e *εἶδος κεστρέων οἱ νήστεις . . . Ἀριστοφάνης Γηρυτάδῃ κτλ. ἐστε*] *ἐστὶ* P. *ἐστι* BV. *εἰσι* Casaub. *γιγνώσκεται* PVL] *γιγνώσκετε* A. Aristot. H. an. 8, 4, 3 *λαίμαργος μάλιστα τῶν ἰχθύων ἐστὶν ὁ κεστρεὺς καὶ ἄπληστος.* 9, 25, 7 *πάντα σχεδόν ἐστι σαρκοφάγα, πλὴν ὀλίγων, οἷον κεστρέως.* Hesych. *κεστρεῖς· τοὺς κεχηνότας καὶ πεινῶντας κεστρεῖς λέγουσι· καὶ τοὺς Ἀθηναίους οὕτω . . προσηγόρευον· τὸ γὰρ ζῷον αὐτὸ λαίμαργόν τέ ἐστι καὶ ἄπληστον.* Photius *κεστρεῖς νήστεις* (*νήσας* cod.) *ἐκάλουν* (*τοὺς*) *κεχηνότας καὶ πεινῶντας· λαίμαργοι γὰρ οὗτοι οἱ ἰχθύες. καὶ ἡ παροιμία· κεστρεὺς νηστεύσεις· εἴρηται ἐπὶ τῶν δικαιοπραγούντων μέν, ἧττον δὲ φερομένων διὰ τοῦτο αὐτό· μετενήνεκται δὲ ἀπὸ τοῦ ἰχθύος· οὗτος γὰρ πάντων τῶν ἰχθύων ἀλληλοφαγούντων μόνος ἀπέχεται.* similiter Zenob. 4, 52 atque Athenaeus ipse 7, 307c. 308b. cf. Plat. 29. Amips. 1. Archipp. 12. Theopomp. 13. Antiphan. 217, 9. 10. Eubul. 68. *ἀνδρῶν κεστρέων* ridicule dixit, ut *ἄνδρες ἰχθύες* Archipp. 29. apud comicos *κεστρεῖς νήστιδες* semper sunt *misere famelici*. apud inferos nescio quis legatos illos poetarum adloqui videtur.

157

τὴν μάλθαν ἐκ τῶν γραμματείων ἤσθιον.

Pollux 10, 59 *Ἀριστοφάνης δὲ ἐν τῷ Γηρυτάδῃ.* Hesych. *μάλθαν· κηρὸν ἁπαλὸν ἤσθιον.* cf. Bergk. R. c. Att. 393. Bonitz Ztschr. f. österr. Gymn. 1857 p. 95. inrideri videntur poetae esurientes.

158

ἀκροκώλι', ἄρτοι, κάραβοι, βολβοί, φακῆ.

Athenaeus 3, 95f *ἀκροκωλίων δὲ μέμνηται Ἀριστοφάνης . . . ἐν Γηρυτάδῃ· ἀκροκώλι', ἄρτοι, κάραβοι.* cetera addidit Dindorfius ex Etymol. m. 53, 14 *ἀκροκώλια, ἄρτοι, βολβοί, φακῆ* (non adiecto auctoris nomine). 'fortasse praestat *φακοί.*' Bergk.

159

πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν;

Athenaeus 4, 158c Ἀριστοφάνης ἐν Γηρυτάδῃ ἔφη κτλ. πτισάνην ην A.

160

Pollux 10, 91 Ἀριστοφάνης . . . ἐν Γηρυτάδῃ· ἄλλος δ' εἰσέφερε πλεκτῷ κανισκίῳ ἄρτων περίλοιπα θρύμματα et 7, 176 ἐν γὰρ τῷ Γηρυτάδῃ φησὶν Ἀριστοφάνης· πλεκτῷ κανισκίῳ. videntur trimetri esse: ἄλλος δὲ πλεκτῷ προσέφερ' ἐν κανισκίῳ | ἄρτων περίλοιπα θρύμματα.

161

ᾖσαν εὐθὺ τοῦ Διονυσίου

Ἀριστοφάνης . . . ἐν Γηρυτάδῃ. ἀντὶ τοῦ ἐπορεύοντο. Etym. m. 420, 5. Herodian II 517, 8. μετῇσαν Eq. 605.

162

ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος.

Ran. 436. ibi schol. Ven. τὸ ὅμοιον καὶ ἐν Γηρυτάδῃ.

163

πόλος τόδ' ἐστίν; εἶτα πόστην ἥλιος τέτραπται;

Pollux 9, 46 τὸ καλούμενον ὡρολόγιον πόλον ἄν τις εἴποι φήσαντος Ἀριστοφάνους ἐν Γηρυτάδῃ κτλ. τόδ' — εἶτα πόστην Porson. Hecub. praef. XLI] τοῦτ' — ἑκασταποστὴν. ut Strepsiades in Nubibus a discipulo Socratis de geometria, astronomia cet. multa admirabilia ipsi audit, ita hic legatis poetarum apud inferos monstrari videtur ὁ κάτω πόλος, sed simili atque in Av. 179 ioco eum polum pro gnomone habent. Herod. 2, 109 πόλον καὶ γνώμονα . . . παρὰ Βαβυλωνίων ἔμαθον οἱ Ἕλληνες. Plat. Tim. 40b γῆν . . . εἱλλομένην περὶ τὸν διὰ παντὸς πόλον τεταμένον. cf. Aesch. Prom. 430. Eurip. Orest. 1685. Ion. 1154. fr. 836, 10 N. Alexid. 256, 7.

164

φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.

Erotianus 68, 5 Klein. ἐκλαπήσεται· ἀντὶ τοῦ ἐκγλυφήσεται καὶ ἐκγεννηθήσεται. ὡς καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ φησί· κτλ. Hermannus φημὶ δ' οὖν ἐγὼ βροτῶν ἅπαντ' ἂν ἐκλαπῆναι. Bothius φήμη 'στιν ἐξ ᾠῶν βροτοὺς ἅπ. ἐκλ. Cobetus V. l.[2] 367 φήμ' οὖν ἐγὼ 'κ τούτου βροτοὺς ἅπ. ἐκλ. certam emendationem non inveni,

sed videtur narratio similis esse eius quae in Platonis Symposio Aristophani tribuitur.

165

Athenaeus 11, 485a λεπαστή· . . . τοῦτο δὲ τὸ ποτήριον ὠνομάσθη ἀπὸ τῶν εἰς τὰς μέθας καὶ τὰς ἀσωτίας πολλὰ ἀναλισκόντων, οὓς λαφύκτας καλοῦμεν. κύλικες δ' ἦσαν μεγάλαι· Ἀριστοφάνης . . . Γηρυτάδῃ· ἦν δὲ τὸ πρᾶγμ' ἑορτή· περιέφερε δ' ἐν κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς ἐνέχει τε σφόδρα κυανοβενθῆ. τὸ βάθος παρίστησιν ὁ κωμικὸς τοῦ ποτηρίου. Pollux 10, 75 ὅτι δὲ ἡ λεπαστὴ οὐκ ἔκπωμα μόνον ἐστίν, ἀλλὰ καὶ οἰνοχόη, σαφὲς Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ ποιεῖ· περιέφερε δὲ κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς, ἐνέχει τε. κυανοβενθῆ etiam Eustath. 1246, 34. hinc Hermannus Annal. lit. Ien. 1842 p. 509 ἦν δὲ | τὸ πρᾶγμ' ἑορτή· περιέφερε δ' ἡμῖν κύκλῳ λεπαστὴν | ταχὺ προσφέρων παῖς ἐνέχεεν τ' ἐφόδια κυανοβενθῆ (ἐφόδια '*auf die Reise*'). Herwerdenus quos (Obs. crit. 39) effinxit dochmii tali narrationi minime conveniunt. adsentior Hermanno, nisi quod ἐφόδια κυανοβενθῆ dici non potuisse et ἐνέχει propter cetera inperfecta retinendum arbitror. fortasse κἀνέχει μάρωνα κυανοβενθῆ.

166

χαριεντίζει καὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει.

Harpocratio Ἀριστοφάνης Γηρυτάδῃ. eadem, sed omisso nomine fabulae (aut poetae) Etym. m. 807, 16. Schol. Platonis 403. Suidas, Zonaras χαριεντιζόμενοι, et Grammat. Nanianus 497. χαριεντίζῃ Harpocr.] χαριεντίζεις.

167

ψίθυρός τε καλοῦ καὶ ψωμοκόλαξ.

Athenaeus 6, 261f ψωμοκόλακος δὲ μνημονεύει Ἀριστοφάνης ἐν Γηρυτάδῃ οὕτως κτλ. ψωμοκόλαξ C] κόλαξ. Ἀριστοφάνης Casaub.] Ἀντιφάνης. καλοῦ i. e. *sine te vocari, in aeternum nomen habeto.* imitati sunt Aristophanem Sannyrio 10. Philemon. 8. Diphil. 49 ψωμοκόλαφον, Philippid. 8 ψωμοκολακεύων.

168

Schol. Sophocl. Electr. 289 ὦ δύσθεον μίσημα σοὶ μόνῃ πατὴρ τέθνηκεν; καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.

169

Schol. Lucian. 222 Iacob. Ἀγάθων, τραγῳδίας ποιητὴς εἰς μαλακίαν σκωπτόμενος Ἀριστοφάνει Γηρυτάδῃ· ἦν δὲ Τισαμενοῦ υἱὸς Ἀθηναίου παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ, μεθ'

οὗ πρὸς Ἀρχέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρσύας ὁ νεώτερος. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως Γοργίου τοῦ ῥήτορος, ὡς Πλάτων ὁ φιλόσοφος Συμποσίῳ. cf. Schol. Plat. 373 Bekk. Cramer. Anecd. Ox. IIII 269, 20. Pausanias quomodo dici possit ὁ τραγικός non intellego. *Agathon* sine dubio eodem modo inridebatur atque in Thesmophoriazusis vel in Ranis.

170

Athenaeus 13, 592 c μνημονεύει αὐτῆς (τῆς Ναΐδος) καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ. non serva erat Nais, sed libera. Athen. ἑταίρα Ναῒς ὄνομα, ἧς Ἀρχίας κύριός ἐστιν . . . ὁ Φιλωνίδης δ' ἐρᾶν φησιν. cf. Plut. 179. Philonides est Melitensis. cf. Hanov. Exerc. crit. 31 sq.

171

αὐτοὶ θύομεν

Hesychius ἀντὶ τοῦ αὐτοὶ πίνομεν, ἐνηλλαγμένως, παρόσον οἱ καλούμενοι εἰς ἑστίασιν λέγουσι καὶ αὐτοὶ θύομεν· ἐπὶ γὰρ τῶν καλουμένων ὑπό τινων λέγεται. Ἀριστοφάνης Γηρυτάδῃ. sine dubio qui ita dicebant Hieroclem aliquem a compotatione excludebant. cf. Schoem. Antiq. gr.[2] II 231. 2 cum not. 2. Eupol. 281.

172

φορμῷ σχοινίνῳ

ἐν τῷ Γηρυτάδῃ ὁ Ἀριστοφάνης λέγει. Pollux 10, 169. idem 7, 175 καὶ φορμὸν δὲ σχοίνινον ὁ αὐτὸς λέγει.

173

τῶν ἀπυρήνων

ῥοῶν Ἀριστοφάνης . . . μνημονεύει . . . ἐν Γηρυτάδῃ. Athen. 14, 650 e. cf. fr. 118.

174

ἀσκοθύλακος

ὡς ἐν τῷ Ἀριστοφάνους Γηρυτάδῃ. Pollux 10, 160. cf. Archipp. 4. Diocl. 3.

175

γαργαλισμοῦ

Erotian. 61, 6 Klein. γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιωσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ καὶ Δίφιλος ἐν Δαναΐσι.

176

ἕρμα

ὕφαλος πέτρα . . . ἔστι τοὔνομα . . . καὶ ἐν Γηρυτάδῃ Ἀρι-

στοφάνους. Harpocrat. Photius *ἕρμα· ὕφαλος πέτρα . . . Ἀριστοφάνης*. Suidas *Ἑρμαῖος· ὕφαλος πέτρα . . . Ἀριστοφάνης*. ubi *ἕρμα* Valesius. *ἕρμα*] *ἑρμὰν* Harpocr., Photius et Suidae V, *ἑρμᾶν* cod. Harpocr. C, *ἑρμιὰν* A, *ἑρμᾶ* Suidae A.

177

καρπεῖα

Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ εἶπε. Pollux 7, 149.

178

κατάπλασμα

Pollux 4, 181 *ἤ που δὲ καὶ δεσμά, καὶ κατάπλασμα ἐν Γηρυτάδῃ*. verba *ἤ που δὲ καὶ δεσμά* versum Phrynichi comici (fr. 62) sequuntur. itaque unde fluxerint *δεσμά* non constat.

179

μέτοχος

Ἀριστοφάνης Γηρυτάδῃ. Bekker. Anecd. 107, 32.

180

τοὺς οἰκοδόμους

Ἀριστοφάνης ἐν Γηρυτάδῃ εἴρηκε. Pollux 7, 117. i. e. *τέκτονας*.

181

περίθεσιν

Ἀριστοφάνης ἐν Γηρυτάδῃ. Pollux 10, 170. Agathonem coma subditicia instructum significari Bergkius suspicatur. cf. Thesm. 258 *κεφαλὴ περίθετος*.

182

σκόμβρος

Ἀριστοφάνης Γηρυτάδῃ. Athenaeus 7, 321 a.

183

σύντεχνοι

Ἀριστοφάνης ἐν Γηρυτάδῃ τούτῳ κέχρηται. Pollux 7, 7.

Ad Gerytadem fr. 579. 580. 581. 643 pertinere Dindorfius et Bergkius statuerunt.

Dionysium qui Plut. 550 commemoratur etiam in Gerytade notatum fuisse Hemsterhusius putabat in ed. Pluti p. 166. 7 Lips.

Schol. Plut. 210 ὀξύτερον τοῦ Λυγκέως· ὡς δ' αὐτὸς ἐν Δαναΐσι φησίν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ, ἐπεὶ δοκεῖ παρ' ἱστορίαν λέγειν. Suidas Λυγκέως ὀξυωπέστερον βλέπεις· οὗτος ἐγένετο ἀδελφὸς Ἴδα, ὡς δὲ Ἀριστοφάνης ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου. scholiasta simul Danaides a se inlustratas esse indicans ab Aristophane Lynceum Aegypti filium, Hypermnestrae maritum, cum Lynceo Apharei filio, oculorum acie insigni, confundi dicit.

261

Schol. Lys. 1237 Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης. cf. Cratin. 236.

262

ἀργύριον

καὶ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσιν. Bekker. Anecd. 442, 10 et Suidas ἀργύρειος.

263

ἐχῖνος

ἔστι μὲν ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο . . . μνημονεύει τοῦ ἄγγους τούτου καὶ . . . Ἀριστοφάνης Δαναΐσιν. Harpocration. cf. Photius.

264

προσωπίδιον

ὡς ἐν Δαναΐσιν Ἀριστοφάνης. Pollux 10, 127.

265

συρμαιοπῶλαι (καὶ ἐγκριδοπῶλαι).

ἐν Ἀριστοφάνους Δαναΐσι. Pollux 7, 199. ἐγκριδοπώλην est

fr. 256. *συρμαιοπώλης* Aegyptium indicat: ei enim syrmaea, quae ex rhaphanorum genere esse dicitur, ad ventrem purgandum utebantur. cf. Pac. 1254. Thesm. 857. Herod. 2, 77. 125. itaque per ludibrium Danaus hoc nomine adpellari videtur.

Quae Pollux 4, 111 de tragicis narrat interdum ut in comoediarum parabasi fiebat suas res privatas cum spectatoribus communicantibus, eorum illam partem quae ad Euripidis Danaen pertinet (*ἐν μέν γε τῇ Δαναΐδι τὸν χορὸν τὰς γυναῖκας ὑπὲρ αὑτοῦ τι ποιήσας παρᾴδειν ἐκλαθόμενος ὡς ἄνδρας λέγειν ἐποίησε τῷ σχήματι τῆς λέξεως*) Fritzschius Fragm. v. Eup. conscr. 16 pro *Δαναΐδι* scribens *Δαναΐσι* ad Aristophanis comoediam rettulit. at universa narrationis sententia et consilium de tragicis, non de comicis agi demonstrat.

Praeterea Bergkius fr. 677. 8. 9 ad Danaides rettulit. cf. etiam fr. 189.

ΔΙΣ ΝΑΥΑΓΟΣ

Sic Pollux 10, 33 Voss. corr., reliqui codices *διοναυαγῷ*. scribebatur fere *Ναυαγός* et inter subditicias referebatur. Vit. Aristoph. XXVIII 65 Duebn. *ἔγραψε δὲ δράματα μδ΄, ὧν ἀντιλέγεται δ΄ ὡς οὐκ ὄντα αὐτοῦ. ἔστι δὲ ταῦτα Ποίησις, Ναυαγός, Νῆσοι, Νιόβις* (scr. *Νίοβος*), *ἅ τινες εἶναι ἔφασαν Ἀρχίππου*. cf. Meinek. I 209. ac difficile est dicere quale argumentum fabula eo nomine praedita antiquae comoediae aetate habere potuerit: nam Ephippus, qui *Ναυαγόν* scripsit, recentioris est. nisi forte nomen figurate accipiendum est de eo qui bis patrimonii potentiaeve in civitate naufragium fecit *(zweimal bankerott)*. in indice cod. Ambros. Novati Herm. XIIII 464 legitur *Διόνυσος ναυαγός*. at in tanta eius codicis depravatione auctoritati eius non nimium tribuendum videtur.

266

τί ὦ πονηρέ μ᾽ ἐξορίζεις ὡσπερεὶ
κλιντήριον;

Pollux 10, 33 *καλεῖται δὲ τὸ κλινίδιον καὶ κλιντήριον, ὡς ἐν Δὶς ναυαγῷ Ἀριστοφάνης ἔφη κτλ. ὦ πονηρέ μ᾽ — ὡςπερεὶ* Bergk.] *με ὦ πόνηρε — ὥσπερ. ἐξορίζεις*] *ἐκκυρίζεις* Bergkius recte. in verbo *ἐκκορίζειν* ludit, tamquam simul a *κόρη* et *κόρις* deducendum sit. '*cur virginitate me spolias, tamquam lectum cimicibus purges?*' loquitur igitur puella. paullo aliter Thesm. 760. cf. Eupol. 233, 4. Menandr. ap. Schol. Pac. 59. possunt etiam dimetri esse. *τί ὦ πονηρέ μ᾽ ἐκκορί|ζεις ὡσπερεὶ κλιντήριον;*

ΔΡΑΜΑΤΑ Η ΚΕΝΤΑΥΡΟΣ

Inter Aristophanis fabulas referuntur *Δράματα ἢ Κένταυρος*,

Δράματα ἢ Νίοβος (quae a quibusdam Archippo tribuebatur, cf. quae ad *Δὶς ναυαγόν* adnotavimus), *Δράματα*. adparet igitur duas fuisse fabulas vel, quae est Dindorfii sententia, duas eiusdem fabulae editiones, *Δράματα ἢ Κένταυρος* et *Δράματα ἢ Νίοβος*. fragmenta tripartito enumeranda sunt, siquidem quae simpliciter *ἐκ τῶν Δραμάτων* adferuntur ad utram pertineant ambiguum est.

quae Etym. m. 286, 19 leguntur *δρᾶμα . . . λέγεται δὲ δράματα καὶ τὰ ὑπὸ τῶν θεατρικῶν μιμηλῶς γινόμενα ὡς ἐν ὑποκρίσει, ὥς φησιν Ἀριστοφάνης*, ea quamquam extrema caligine sunt obscuriora, cum ne id quidem constet quem dicat Aristophanem, tamen Bergkius ita usus est, ut in comoedia alteram quasi fabulam in scaena agi statueret, cuius rei inlustrissimum est exemplum in Shakesperii Somnio noctis aestivae; atque in Centauro quidem episodium illud fuisse dicit Herculis cum Pholo Centauro contubernium, in Niobo*) calamitatem nescio cuius, qui ut Niobe necopinato casu liberis sit orbatus omnibus. at neque quomodo hoc argumentum comoediae conveniat perspicitur neque quomodo duplici quam fingit actioni aut scaenae Atticae simplicitas aut histrionum numerus, etiamsi unum alterumve parachoregema adsumpseris, sufficere potuerit.

multo felicior videtur G. Hermanni coniectura: is enim (Oed. Col. praef.[2] XI) quae in Vita Sophoclis narrantur *καί ποτε ἐν δράματι εἰσήγαγε τὸν Ἰοφῶντα αὐτῷ φθονοῦντα κτλ.*, ea non ad Sophoclem, sed ad Aristophanem refert, qui *ἐν Δράμασιν* (sic scribit pro *ἐν δράματι*) simultatem illam quae Sophocli cum Iophonte filio intercedere dicebatur, in scaenam ita induxerit, ut Sophoclem ab Iophonte in *φρατέρων* sodalicio, quod propter senectutem rem familiarem administrare iam non posset, accusari, recitato autem primo Oedipi Col. stasimo omnium suffragiis absolvi faceret. videntur enim *τῶν φρατέρων* in alterutra comoedia partes fuisse conl. fr. 286, et controversia illa familiaris acta esse in Niobo, quo nomine ipsum Sophoclem significari arbitror propter aerumnas ipsi a liberis obiectas.

de tempore Dramatum accurate et non sine fructu disputavit Wilamowitzius Obs. crit. 11—18. cf. etiam Herm. VIIII 330 not. cum enim ad Vesp. 60 scholia adnotent *ἐν τοῖς πρὸ τούτου* (Vespas dicit) *δεδιδαγμένοις δράμασιν εἰς τὴν Ἡρακλέους ἀπληστίαν πολλὰ προείρηται*, pro *δράμασιν* scribens *Δράμασιν* Herculis famem ad Dramata refert ac Centaurum quidem *ante* Vespas, Ol. 88, 2, quia proximis annis alias fabulas Aristophanem docuisse constet, Niobum autem *post* Vespas actam esse contendit. ac si vera sunt quae de Hermanni coniectura supra disputavimus, Niobum postquam Oedipum Coloneum Sophocles scripsit doctam esse constat.

*) recte *Νίοβος*, quamquam haud raro in codicibus *Νιόβη*, sicuti etiam in indice cod. Ambr. Novati Herm. XIIII 464.

267

ἐγὼ γάρ, εἴ τί σ' ἠδίκηκ', ἐθέλω δίκην
δοῦναι πρόδικον ἐν τῶν φίλων τῶν σῶν ἐνί.

Photius *πρόδικον δίκην· τὴν ἐπὶ φίλων καὶ διαιτητῶν. Ἀριστοφάνης Κενταύρῳ κτλ.* Suidas male *πρόδικον· δικαστὴν ἐπὶ φίλων καὶ διαιτητήν. Ἀριστοφάνης Κενταύρῳ κτλ. τί σ' ἠδίκηκ', ἐθέλω — ἐν — ἐνί* Porson.] *τις ἢ δίκη, θέλω — ἓν — ἕνι* cod. Phot. *τις ἠδίκηκε, θέλω — ἐνὶ — ἐνί* AV Suid. non recte Cobetus Mnem. V 193 *ἐπὶ τῶν φ. τ. σ. τινός*, quod propter tribrachum cum anapaesto coniunctum admitti nullo modo potest. *ἐν* praepositio, de qua ille cum Hermanno, Bergkio, Bernhardyo dubitabat, rectissime posita est. Soph. Ant. 459 *ἐν θεοῖσι τὴν δίκην δοῦναι*, *deorum iudicio* vel *arbitrio*. Plat. Gorg. 464d *ἐν παισὶ διαγωνίζεσθαι*, *ut infantes iudices sint*. Leg. 11, 916b *διαδικαζέσθω ἐν τισι τῶν ἰατρῶν*. et 11, 920de *διαλλάττεσθαι ἐν διαιτηταῖς ἢ γείτοσιν*. Eurip. Hipp. 1320 *σὺ δ' ἔν τ' ἐκείνῳ κἀν ἐμοὶ φαίνει κακός*. Amphid. 21 *μάταιός ἐστιν ἔν γ' ἐμοὶ καὶ τοῖς σοφοῖς κριταῖς ἅπασιν*. ceterum cf. Hesych. *δίκη πρόδικος· ἡ πρὸ τοῦ ἀχθῆναι εἰς δίκην ὁμολογουμένη*.

268

ἀνοιγέτω τις δώματ'· αὐτὸς ἔρχεται.

Pollux 3, 74 *Ἀριστοφάνης κατὰ τὴν τῶν πολλῶν συνήθειαν τὸν δεσπότην αὐτὸν κέκληκεν εἰπὼν ἐν Δράμασιν ἢ Κενταύρῳ κτλ.* Bekker. Anecd. 78, 29 *αὐτός, ἀντὶ τοῦ ὁ δεσπότης, αὐτὸς λέγει, αὐτὸς ἄρχεται, Ἀριστοφάνης.* ubi *ἔρχεται* Fritzschius. *ἄνοιγέ τις τὰ δ.* Dobraeus, sed sine articulo *τραγικώτερον* sonat. cf. Theocr. 24, 50. Nub. 219. fr. 713.

269

ἀλλ' ἐς κάδον λαβών τιν' οὔρει πίττινον.

Pollux 10, 185 *τοῖς δὲ σκεύεσιν . . . προσαριθμεῖν καὶ κάδον πίττινον ἔξεστιν, Ἀριστοφάνους ἐν Δράμασιν ἢ Κενταύρῳ εἰπόντος κτλ.*

270

ἐκκρουσαμένους τοὺς πύνδακας

Pollux 10, 79 *τὸν δὲ πυθμένα καὶ πύνδακα . . . Ἀριστοφάνης γοῦν ἐν Δράμασιν ἢ Κενταύρῳ ἐκκρουσαμένους τοὺς πύνδακας εἴρηκε. ἐκκρουσαμένους*] *ἐκκρουσάμενος* Casaub. Athen. 7, 301b. *ἐσκρουσαμένους* cum Meinekio Bekkerus. *ἐκκεκρουσμένους* Bergkius. cur emendatione opus sit non video. '*postquam doliorum fundos pertuderunt*', Centauri opinor, quorum fortasse cum Hercule convivium describebatur. est exitus trimetri iambici aut pars tetrametri anapaestici.

271

πτίσσω, βράττω, μάττω, δεύω, πέττω, καταλῶ.

Pollux 7, 24 *τῶν δὲ περὶ ἀρτοπωλίαν ἀθρόα ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ κτλ. πτίσσω* Brunck.] *πήττω* A (i. e. *πτίττω*). *πίπτω* B. *πίττω* ceteri. *πτίττω* cum Dindorfio Bekkerus. at cf. Pherecr. 183. in exitu ionicus minor deest. loquitur fortasse servus cenam Herculi parans.

272

χωρεῖ ἄκλητος ἀεὶ δειπνήσων· οὐ γὰρ ἄκανθαι.

Hesychius *οὐ γὰρ ἄκανθαι· παροιμία. Ἀριστοφάνης . . . ἐν Δράμασιν ἢ Κενταύρῳ· χωρεῖ — δειπνήσων. χωρεῖ* Bergk.] *χωρεῖ δ'. οὐ γὰρ ἄκανθαι* in ipso versu, necessarium utique, om. Hesychius, in fine addens *ἔοικε δὲ ὑπομιμνήσκειν τὴν τοῦ βίου διαφορὰν καὶ μεταβολήν.* quae quorsum pertineant explicat quodammodo Photius *οὐ γὰρ ἄκανθαι· λεγόμενον ἐπὶ τῶν ὠφελίμων· ἀπὸ τῆς τοῦ βίου εἰς τὸ ἡμερώτερον μεταβολῆς.* Suidas *ἀληλεσμένος βίος· . . . ἄλλη δὲ παροιμία φησίν· οὐ γὰρ ἄκανθαι· ἔοικε δὲ ὑπομιμνήσκειν τὴν τοῦ βίου μεταβολήν, ἀγρίου καὶ ἀκανθώδους πρότερον ὄντος, πρὶν ἐπιμέλειαν τῆς γῆς καὶ τῶν σπερμάτων γενέσθαι.* Zenob. 3, 98 *Ἀθήνησιν ἐν τοῖς γάμοις ἔθος ἦν ἀμφιθαλῆ παῖδα ἀκάνθας μετὰ δρυΐνων καρπῶν στέφεσθαι . . . ἐσήμαινον δὲ ὡς ἀπώσαντο μὲν τὴν ἀγρίαν καὶ παλαιὰν δίαιταν, εὑρήκασι δὲ τὴν ἥμερον τροφήν.* cf. fr. 483. initio aliquid deesse videtur, ut sit tetr. anap. Bergkius Herculem dici existimat, qui etiam non invitatus conviviis interesse solebat, veluti Ceycis. Cratin. 169. Eupol. 289.

273

τὸ δὲ πορνεῖον Κύλλου πήρα.

Hesychius *Κύλλου πήρα· ζητοῦσι διὰ τί τὸ πορνεῖον Κύλλου πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ· τὸ δὲ π. Κ. π. ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ πέραν πήραν ἔφη.* Photius *Κυλλοῦ πήραν· ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης. καὶ κρήνη, ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσι καὶ αἱ ἄγονοι γόνιμοι γίνονται . . . τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως.* Herodian. I 157, 17 *Κύλλος τὸ κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης.* Cratin. 102.

274

Pollux 9, 36 *κωμήτας* (Nub. 965) *τοὺς γείτονας καὶ κωμήτιδας ὠνόμαζον. Ἀριστοφάνης γοῦν ἐν μὲν Δράμασιν ἢ Κενταύρῳ ἔφη· ἐν κωμήτισι καπηλοῖς ἐπίχαρτον.* Bergkius *κωμήτισιν καπήλισίν τ' ἐπίχαρτον ἦν,* versu pessimo. fortasse *ἦν κωμήτισι πᾶσίν τε καπήλοις ἐπίχ.*, metro choriambico. cf. fr. 109.

275

ἀπόκινον

Athenaeus 14, 629c *τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει . . . Ἀριστοφάνης τ' ἐν Κενταύρῳ καὶ ἄλλοι πλείονες, ὕστερον μακτρισμὸν ὠνόμασαν.* cf. Eq. 20. Cratin. 120.

276

λίθος δεκατάλαντος

ὁ Ἀριστοφάνης ἐν Δράμασιν ἢ Κενταύρῳ. Pollux 9, 53.

277

κλιμακτῆρες

οἱ ἀναβασμοὶ τῆς κλίμακος ὡς ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ. Pollux 10, 171. cf. Eur. Helen. 1570.

ΔΡΑΜΑΤΑ Η ΝΙΟΒΟΣ

278

ἔστιν γὰρ ἡμῖν τοῖς κάτω πρὸς τοὺς ἄνω
ἀπὸ συμβόλων, καὶ μὴν ὁ μαιμακτηριών,
ἐν ᾧ ποιοῦμεν τὰς δίκας καὶ τὰς γραφάς.

Ἀριστοφάνης Νιόβῳ· κτλ. Etym. m. Milleri (Mélanges 210) *μαιμακτηριών. ἔστιν* Miller] *ἔστι. Νιόβῳ* Miller] *Νιόβῃ.* Harpocration *μαιμακτηριὼν ὁ ε' μὴν παρ' Ἀθηναίοις . . . ὠνόμασται δὲ ἀπὸ Διὸς μαιμάκτου, μαιμάκτης δ' ἐστὶν ὁ ἐνθουσιώδης καὶ ταρακτικός . . . ἀρχὴν δὲ λαμβάνοντος τοῦ χειμῶνος ἐν τούτῳ τῷ μηνὶ ὁ ἀὴρ ταράττεται καὶ μεταβολὴν ἴσχει.* itaque aptissimus erat mensis ficto a poeta commercio mortuos inter vivosque. faciatne huc etiam Philetaer. 11 *τίς ἐστι μαιμακτηριών; Β. μὴν δικάσιμος* nescio: nam eum versum qui interpretaretur adhuc inventus est nemo, quamquam certarum causarum certos fuisse menses constat. pro *ἔστιν* scribendum videtur *κρίσεις*. de locutione *ἀπὸ συμβόλων* cf. Meier et Schoem. Att. Proc. 773. Antiphon 5, 78 *δίκας ἀπὸ ξυμβόλων ὑμῖν δικαζομένους.* [Andocid.] 4, 18 *πρὸς τὰς ἄλλας πόλεις ἐν τοῖς συμβόλοις συντιθέμεθα μὴ ἐξεῖναι μήθ' εἷρξαι κτλ.*

279

οἴμοι κακοδαίμων· ὁ λύχνος ἡμῖν οἴχεται.

Athenaeus 15, 1561 Dind. ex cod. A *ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο Ἀριστοφάνης ἐν Αἰολοσίκωνι παρίστησι . . . ἐν δὲ τῷ δευτέρῳ νιουω* (*Νιόβῳ* Schweighaeus.) *προειπὼν λυχνοῦχον* (*λύχνον* Bergk.) *οιμοι κακοδαίμων φησὶν λυχνουχος* (*ὁ λύχνος* Bergk.) *ἡμῖν οἴχεται. εἶτ' ἐπιφέρει καὶ πως επιρρασας*

τὸν λυχνοῦχον [οἴχεται εἶτ' ἐπιφέρει] καὶ ἔλαθες. ἐν δὲ τοῖς . ϱ . ης (ἐν δὲ τοῖς ἐφεξῆς Dindorfius) καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων ἀλλ' ὥσπερ ὁ λύχνος ὁμοιότατα καθεύδετ' (καθεῦδ' Fritzsch. Euphros. 22) ἐπὶ τοῦ λυχνιδίου. 'servum aliquem queri quod lumen sibi exstinctum sit' Bergkius arbitratur. ἐν τῷ δευτέρῳ Νιόβῳ, i. e. in altera Dramatum fabula, quae inscribitur Niobus.

280

καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον κἄλαθε;

Athenaeus 15, 1561 Dindf. cf. fr. 279. haec Cobetus (Mnem. V 191. 2) in cod. A sic legit εἶτ' ἐπιφέρει· καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον οἴχεται εἶτ' ἐπιφέρει καὶ ἔλαθε. 'expunctis quae librarius temere repetiit ex superioribus οἴχεται εἶτ' ἐπιφέρει καί, quae noluit ipse expungere, ne codicis elegantia minueretur', Cobetus scribit *B.* καὶ πῶς ὑπερβὰς τὸν λυχνοῦχον ἔλαθέ σε; servo de exstincto lumine querenti (279) dominus interrogatione respondet qui factum sit ut lucerna candelabrum superscenderet.

281

ἀλλ' ὥσπερ λύχνος
ὁμοιότατα καθεῦδ' ἐπὶ τοῦ λυχνιδίου.

Athenaeus 15, 1561 Dindf. cf. fr. 279. Pollux 10, 119 ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ· ἀλλ' ὥσπερ λύχνος ὁμοιότατα κάθευδ' ἐπὶ τοῦ λυχνιδίου. λύχνος Pollux] ὁ λύχνος A Athen. in λυχνιδίου aatepaenultima producitur, ut in οἰκίδιον, ἀργυρίδιον, δακτυλίδιον aliis. de sententia cf. Pherecr. 40. Nunnes. Phryn. Ecl. 60 Lob. λυχνίδιον hic dici pro λυχνούχῳ Athenaeus ipse testatur.

282

οὐδὲν μὰ Δί' ἐρῶ λοπάδος ἑψητῶν.

Athenaeus 7, 301b πληθυντικῶς δὲ λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον. Ἀριστοφάνης Δράμασιν ἢ Νιόβῳ κτλ. πλέον in exitu addit Herwerden. Mnem. nov. VI 60. at si significare volebat '*nihil magis amo quam cet.*', dicendum erat οὐδενὸς πλέον ἐρῶ κτλ. excidit fortasse τανῦν '*nihil desidero in praesenti patellam* ἑψητῶν'. cf. Eupol. 5. 6.

283

ὁ δ' εἰς τὸ πλινθεῖον γενόμενος ἐξέτρεψε

Pollux 10, 185 οὐ μέντοι οἱ κεραμεῖς τὰς πλίνθους ἔπλαττον, πλινθεῖον καλεῖ τόπον ἐν Δράμασιν ἢ Νιόβῳ Ἀριστοφάνης, περὶ τοῦ Κυκλοβόρου τοῦ ποταμοῦ λέγων. tetrameter iambicus, in

cuius exitu videtur excidisse *πάντα*. pro *γενόμενος* fortasse scribendum *φερόμενος*. de *Cycloboro* cf. Eq. 137 et fr. 636, quod ex Niobo petitum esse opinatur Dindorfius.

284

Schol. Eurip. Phoen. 159 *περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτός φησιν Εὐριπίδης ἐν Κρεσφόντῃ· καὶ δὶς ἕπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης δὲ ἐν Δράμασιν ἢ Νιόβῳ ὁμοίως ζ' αὐτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας. ἐν Δράμασιν ἢ Νιόβῳ* Dindf.] *ἐν δράματι Νιόβης.*

285

καττύς

δερμάτιον ἐντιθέμενον τῇ σμινύῃ, ὅταν ὁ στέλεχος ἀραιὸς ᾖ. καὶ ἔστι τοὔνομα ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ. Pollux 10, 166. *τῇ σμινύῃ*] '*σμινύης? an ἐν σμινύῃ?*' Bekker. Hesych. *καττύν· ἀπότριμμα δερματίου.* Photius *καττυν* (sic)· *ἀπότριμμα δερματίου βαλλόμενον εἰς τὴν στειλειάν, ὅταν μὴ σφίγγῃ.* cf. *καττύειν, κάττυμα.*

Cf. praeterea fr. 939.

ΔΡΑΜΑΤΑ

286

ἀλλ' εὔχομαι 'γωγ' ἑλκύσαι σε τὸν ζυγόν,
ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτερες.

Schol. Ran. 798 *μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ Ἀπατούρια ὄις ὑπὸ τῶν πατέρων εἰσφερομένους, διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον μεῖον. ὅτι δὲ ἵστατο, Ἀριστοφάνης ἐν Δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον ἀπὸ τῶν κούρων ὑπὲρ ὧν ἐθύετο, μεῖον δὲ διὰ τὴν πορειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοτο* (sic cod. Θ. ceteri *ἀπεδέδοκτο*), *καθάπερ αὐτός φησιν Ἀριστοφάνης ἀλλ' εὔχομαι κτλ.* *"γωγ'* Dindorf.] *ἔγωγε. ἑλκύσαι*] *ἀγκύσαι* Θ. *σε*] *σου* V. *ζυγόν* Raspius Eupol. *Δῆμ.* 75. cf. Ran. 1365. 1381] *σφυγμόν. σταθμόν* Brunckius. 2. *προσπράττωσι*] *προστάττωσι* V. *φράτερες* Dindorf.] *φράτορες*. cf. Eq. 255. Av. 1669. Ran. 418. Philemo 112 Burn. Bekker. Anecd. 992. Herodian. I 47, 24. 49, 6. 410, 29. II 747, 9. de sacro quod *μεῖον* dicebatur cf. praeter Ran. 798 Schoemann. Antiq. gr.[2] II 522. quid sit *γραῦν* nescio. nisi id ex eis quae exciderunt intellegebatur, scribendum arbitror *προσπράττωσ' ἕτερον* (*ἱερεῖον*). ad Niobum haec et litem Sophoclis cum filio apud phrateres videntur pertinere.

287

αὐτοῖς σταθμοῖς ἐξέβαλε τὰς σιαγόνας.

Photius *σταθμούς· Ἀριστοφάνης Δράμασιν κτλ. οἷον τοῖς φλειοῖς.* codex *σταθμοῖς: ἐξέβαλε τὰς σιαγόνας οἷον τοῖς φλειοῖς· — σταθμούς· ἀριστοφάνης δραμασιν αὐτοῖς.* correxit Porsonus. praeterea *ταῖς φλιαῖς* Dindorfius. confert Bergkius Epicharmum Athen. 10, 411 b in Busiride de Hercule haec dicentem: *πρᾶτον μὲν αἴ κ' ἔσθοντ' ἴδοις νιν, ἀποθάνοις. βρέμει μὲν ὁ φάρυξ ἔνδοθ', ἀραβεῖ δ' ἁ γνάθος, ψοφεῖ δ' ὁ γόμφιος, τέτριγε δ' ὁ κυνόδων, σίζει δὲ ταῖς ῥίνεσσι, κινεῖ δ' οὔατα.* verum quid in tali sententia verba *ἐξέβαλε τὰς σιαγόνας* sibi velint nescio: nam suas quidem maxillas qui edit non excutit. itaque aut de leonis aprive caede cogitandum esse censeo, cui Hercules malas excusserit, aut si de ipsius edacitate sicuti apud Epicharmum haec dicuntur, scribendum existimo *ἐπέβαλε.* '*malas etiam postibus iniecit*', i. e. ne postibus quidem domus pepercit: quemadmodum Ion in Omphale dixerat (Athen. 10, 411 b) *ὑπὸ δὲ τῆς βουλιμίας κατέπινε καὶ τὰ κᾶλα καὶ τοὺς ἄνθρακας.* itaque pertinere haec videntur ad Centaurum. cf. Schol. Vesp. 60 (fr. 289).

288

πάντες δ' ἔνδον πεταχνοῦνται.

Athenaeus 11, 496 a *πέταχνον. ποτήριον ἐκπέταλον . . . μνημονεύει αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Δράμασι λέγων κτλ. πεταχνοῦνται* Casaub.] *πεταχνεῦται* VL. *πετεχνεῦται* P. *πεντάχνευται* B. Photius *πεταχνοῦνται· ἐξυπτιοῦνται, τρυφῶσιν.* Hesych. *πεταλοῦνται· ἐξυπτίωνται* (sic scribendum), *τρυφῶσιν.* et *πέτακνον· ποτήριον ἐκπέταλον·* (*τὸ*) *δὲ αὐτὸ καὶ πέταχνον. πέδαχνα· τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια. πεδαχνοῦται· ἐξυπτίωται, τρυφᾷ.* versus videtur esse paroemiacus. miror tamen cur Athenaeus pro nominis *πέταχνον* exemplo attulerit versum quo verbum potius ab eo derivatum contineatur. accedit singularis codicum variatio. quocirca fortasse scribendum *πέταχν' αἴρονται.* videtur Centauri esse fragmentum.

289

Schol. Vesp. 60 *ἐν τοῖς πρὸ τούτου δεδιδαγμένοις Δράμασιν εἰς τὴν Ἡρακλέους ἀπληστίαν πολλὰ προείρηται. Δράμασιν* Wilamowitz] *δράμασιν.* discernuntur, si recte Wilamowitzius (Obs. crit. 13) coniecit, Dramata ante Vespas et post Vespas acta: in illa igitur (i. e. in Centauro) Herculis inexpleta edacitas traducebatur.

290

Schol. Vesp. 61 Ven. *οὐ μόνον ἐν τοῖς Δράμασιν εἴσηκται οὕτως Εὐριπίδης, ἀλλὰ καὶ ἐν τῷ Προάγωνι καὶ ἐν τοῖς Ἀχαρνεῦσιν.* Ald.: *οὐ μόνον δὲ ἐν τούτῳ τῷ δράματι* (Vespis). quod cum mani-

festo falsum sit, credendum sine dubio codici Veneto. cf. Wilamowitz. Obs. crit. 14—16 et ubi quae dixerat ex parte retractavit Herm. VIIII 330. ut fr. 289 ad Centaurum, ita fr. 290 ad Niobum pertinere videtur, ubi, si Sophoclis in ea fabula partes erant, aptissime etiam Euripides inridebatur.

291

Schol. Platonis 331 Bekker. *Χαιρεφῶντα* . . . *Ἀριστοφάνης ἐν Δράμασι κλέπτην (λέγει).* quod quoniam vivo Chaerephonte factum videatur, ad Centaurum refert Wilamowitz. Obs. crit. 19 adn.

292

βύρσαν

τὴν πόλιν Ἀθηνῶν Ἀριστοφάνης ἐν Δράμασι παίζων ἔφη. Hesychius. *τὴν πόλιν Ἀθηνῶν* Musurus] π̄ θ̄ cod., i. e. *πόλιν θεῶν.* videtur poeta *Byrsam*, i. e. Athenas, *deorum urbem* adpellavisse. quod cum fieri non potuerit nisi Cleone superstite, ad Centaurum haec pertinent. cf. Meinekius IIII 632.

293

κιχόρεια

(κιχορία)· τὸ ἄγριον λάχανον. Ἀριστοφάνης Δράμασιν. Bekker. Anecd. 105, 21. cf. Photius. *κιχόρεια (κιχορία* pr.)· *τὸ ἄγριον λάχανον. Ἀριστοφάνης.* cf. Horat. Carm. 1, 31, 16. Schneider in indice Theophr. (V 414).

ΕΙΡΗΝΗ ΔΕΥΤΕΡΑ

Argument. Pacis III *φέρεται* (sic R) *ἐν ταῖς διδασκαλίαις καὶ ἑτέραν* (haec duo verba desunt in RV) *δεδιδαχὼς Εἰρήνην ὁμοίως Ἀριστοφάνης. ἄδηλον οὖν, φησὶν Ἐρατοσθένης, πότερον τὴν αὐτὴν ἀνεδίδαξεν ἢ ἄλλην καθῆκεν, ἥτις οὐ σῴζεται. Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως· ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ. καὶ σποράδην δέ τινα ποιήματα παρατίθεται, ἅπερ ἐν τῇ νῦν φερομένῃ οὐκ ἔστιν.* Eratosthenes igitur alteram Pacem non vidit: Crates utram alteram dixerit non constat. Dindorfius (Arist. fr. 12. 13) nullam omnino alteram Pacem fuisse censet, Fritzschius (Daetal. 131 n. 71. cf. Bergk. R. c. Att. 323) Agricolas alteram Pacis esse editionem, Droysenus superstitem alteram, quae periit priorem, Bergkius (II 1066) integram priorem, quae periit alteram esse. mihi cum Velseno (Annal. gymn. Berol. XIX 751) constat duas fuisse Aristophanis Paces, utramque actam, ac priorem quidem quam hodie legimus, eaque cum secundum praemium tulerit, alteram non modo esse repetitam, sed etiam retractatam.

294

Α. τοῖς πᾶσιν ἀνθρώποισιν Εἰρήνης φίλης
πιστὴ τροφός, ταμία, συνεργός, ἐπίτροπος,
θυγάτηρ, ἀδελφή, πάντα ταῦτ' ἐχρῆτό μοι.
Β. σοὶ δ' ὄνομα δὴ τί ἐστιν; *Α.* ὅ τι; Γεωργία.
* * * *
Β. ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους.

Stobaeus Floril. 56, 1. Ἀριστοφάνους Εἰρήνης. 1. τοῖς AB] τῆς. 4. δὴ om. A. 5. γεωργοῖς Gesn. marg.] γεωργὸς. 5. 6 'cohaerent cum praecedentibus in A et Tr.' Gaisford. sunt fabulae superstitis 556. 7. itaque spatio aliquo a reliquis secernendi erant, cum praesertim etiamsi alterius quoque Pacis sunt non continuo superiores secuti esse videantur. conloquitur autem Agricultura, quam ut in priore fabula Oporam in scaenam induxit cum Trygaeo aliquo, qui repertam non agnoscit, et priscis Atheniensibus se bene cognitam et exoptatam fuisse dicit. ad Menandri Γεωργόν haec pertinere Dindorfius censuit, perperam: colorem enim antiquae comoediae certissime referunt. ἐχρῆτό μοι corrupta sunt: nam χρῆσθαί τινί τι est *aliquo ad aliquid uti* (τοῖς πολεμίοις παρέδοσαν σφᾶς αὐτοὺς χρῆσθαι ἑαυτοῖς ὅτι βούλοιντο). poterat dici πᾶσι τούτοις (τοῖς ὀνόμασιν) ἐπ' ἐμοῦ ἐχρῆτο. videtur scribendum esse π ά ν τ α τ α ῦ τ' ε ὔ χ ο ν τ ό μ ο ι, i. e. εὐχόμενοί μοι πάντα ταῦτά με ἔλεγον. quod si cui audacius videatur, multo audacius Sophocles dixit νῦν δὲ τοῦτ' εὔχεσθέ μοι OR. 1512, quod perperam a quibusdam sollicitatur.

295

τὴν δ' ἀσπίδα
ἐπίθημα τῷ φρέατι παράθες εὐθέως.

Pollux 10, 188 φαίης δ' ἂν ἐπὶ τοῦ αὐτοῦ καὶ πῶμα καὶ ἐπίθημα, οἷον πίθου ἢ λέβητος ἢ φαρέτρας. ἐν γοῦν τῇ Ἀριστοφάνους Εἰρήνῃ γέγραπται κτλ. cf. Pac. 1210—1264.

296

ἰὼ Λακεδαίμων, τί ἄρα πείσει τήμερα;

Suidas τήμερος· ὁ σημερινός. καὶ ἔστι τεταγμένον ἐπὶ σώματος· τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται καὶ ἐν Εἰρήνῃ κτλ. eadem Schol. Ald. Nub. 699 (cf. Schol. Hom. Il. 3, 182) ex Holcadibus affert (Λακεδαῖμον), ubi tamen Rav. et Ven. ἐν τῇ Εἰρήνῃ. πείσει Schol. Nub.] ποιήσει Suid. cf. fr. 401. potuit eodem versu poeta in utraque comoedia uti. mira narrat Photius 202, 18 Λακεδαιμῶν· τὴν

κλητικὴν περισπῶσιν. οὕτως Ἀριστοφάνης. scribendum cum Dobraeo Λακεδαῖμον et προπερισπῶσιν. de sententia cf. Pac. 242. 246. 250.

297

πόθεν τὸ φῖτυ, τί τὸ γένος, τίς ἡ σπορά;

Eustathius 1291, 26 φῖτυ δηλοῖ φυτὸν ἢ φύτευμα, ὡς Ἀριστοφάνης Εἰρήνῃ (Dobr. Adv. II 253f εἴρηκε·) πόθεν τὸ φῖτυ κτλ. Trygaeum haec mirifico Agriculturae ornatu obstupefactum dicere, respondere autem illam ea quae fr. 294 continentur coniectura est Bergkii, incerta sane.

ΗΡΩΕΣ

Actam esse Ol. 91, 3, certe non post Ol. 91, 4 Bergkius arbitrabatur, Diitrephem cuius mentio fit fr. 307 in Mycalessi obsidione occidisse ratus, conl. Av. 798. 1440. Thuc. 7, 29. Paus. 1, 23, 3. at idem ut videtur Diitrephes commemoratur etiam Thuc. 8, 64, i. e. Ol. 92, 1.2.

298

Α. οὐκ ἠγόρευον; οὗτός ἐστ' οὐκ Ἀργόλας.
Β. μὰ Δί' οὐδέ γ' Ἕλλην, ὅσον ἔμοιγε φαίνεται.

Steph. Byz. Ἄργος . . . τὸ ἐθνικὸν Ἀργεῖος . . . λέγεται καὶ Ἀργόλας. Ἀριστοφάνης Ἥρωσιν κτλ. 1. ἐστ' οὐκ Scaliger Append. Coniect. Varr. 184] ἐστί γ' οὐκ. 2. οὐδέ γ' Scaliger] οὐδ'. cf. Herodian. II 55, 7 (οὗτός ἐστ' ὁ Ἀργ.). Cobet. Mnem. V 197 οὑτοσί γ' οὐκ. aut sic aut οὗτος οὐκ ἔστ' scribendum. cf. quae adnotavi ad Nub. 687.

299

τρέχ' εἰς τὸν οἶνον ἀμφορέα κενὸν λαβὼν
τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον,
κἄπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν.

Suidas ἀμφορεαφόρους· τοὺς μισθίους, τοὺς τὰ κεράμια φέροντας. καὶ ἀμφορεαφόρος ὁ κεράμια μισθοῦ φέρων . . . Ἀριστοφάνης Ἥρωσι κτλ. Pollux 10, 75 καὶ τὸ παρ' Ἀριστοφάνει γευστήριον τρέχ' — γευστήριον. et 10, 172 καὶ βύσμα δ' ἂν εἴη τῶν χρησίμων, Ἀριστοφάνους εἰπόντος βύσμα καὶ γευστήριον. 6, 99 καὶ γευστηρίου μὲν Ἀριστοφάνης μέμνηται. 1. τρέχ' εἰς] τρέχειν Suidae A. κενὸν Suid.] κοινὸν Poll. 2. τῶν — βύσμα Poll.] τὸν — γεῦμα Suid. qui loquitur non servum sed per iocum alium aliquem iubet amphoras gestare. εἰς τὸν οἶνον *in forum vinarium*. cf. Eq. 857. Eupol. 304.

300

ὀβολῶν δεουσῶν τεττάρων καὶ τῆς φορᾶς.

Pollux 7, 133 *Ἀριστοφάνης δ' ἐν τοῖς Ἥρωσι δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι φοράν, ὅταν εἴπῃ κτλ.* in versu proximo praeierat sine dubio *δραχμῶν.* cf. Eupol. 271. sine idonea ratione Bergkius hanc versum cum 299 eadem scaena coniunctum esse opinatur.

301

ἢ καρδοπείῳ περιπαγῇ τὸν αὐχένα.

Pollux 10, 113 *καὶ πανσικάπη, ἣν καὶ καρδοπεῖον ὠνόμαζον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης κτλ. ἣν — περιπαγῇς* Bergkius. at *ἣν* in eis quae ante dicta erant positum fuisse potest.

302

παύσειν ἔοιχ' ἡ πανσικάπη κάπτοντά σε.

Schol. Pac. Ven. 14 *εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν· ἀφ' οὗ καὶ τὴν πανσικάπην ἐπενόησαν, τροχοειδές τι, δι' οὗ τὸν τράχηλον εἶρον πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης κτλ. πανσικάπη* Dindorf.] *πανσικάη* V. minatur servo quisquis loquitur.

303

ἴθι δὴ λαβὼν τὸν ῥόμβον ἀνακωδώνισον.

Pollux 10, 173 *Ἀριστοφάνης ἐν Ἥρωσιν. ῥόμβον*] *ῥύμβον* Meinek. cf. Eupol. 72. verba prorsus obscura.

304

οἱ γὰρ ἥρως ἐγγύς εἰσιν.

Bekker. Anecd. 1197 *φησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου ἐν τῇ περὶ τῆς εὐθείας τῶν πληθυντικῶν διδασκαλίᾳ, ὡς ἡ οἱ ἥρωες εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν* (recte Bergk. *Ἥρωσιν*) *οἷον· οἱ γὰρ ἥρως ἐγγύς εἰσιν, ἀντὶ τοῦ οἱ ἥρωες.* Phrynichus Ecl. 158 *ἅπαξ βιασθεὶς Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου οἱ ἥρως εἶπε. τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον.* cf. Thom. Mag. 424. 5. Herodian. I 424, 13. II 341, 29. Lascaris Gramm. III 2, 7 apud Lobeck. chori adventus eodem modo nuntiatur atque Eq. 242. 244.

305

μὴ γεύεσθε δ' ἅττ' ἂν καταπέσῃ
τῆς τραπέζης ἐντός.

Diogenes Laert. 8, 34 *τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινός. Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι μὴ γεύεσθ' ἅττ' ἂν καταπέσῃ τῆς τραπέζης ἐντός. ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ.* Suidas *Πυθαγόρα τὰ σύμβολα· Ἀριστοφάνης γὰρ τῶν ἡρώων εἶναί φησι τὰ πίπτοντα, μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτοντα ἀναιρεῖσθαι μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν. δ'* add. Bergkius. Cobetus in ed. Diog. ex Seidleri coniectura *μηδὲ γεύεσθ' ἅττ' ἂν ἐντὸς τ. τρ. κ.* cum etiam gallum album Aristophanes edi vetuisse videatur, fortasse ita continuandum est fragmentum: *μηδ' ἀλεκτρυόνα φάγητε λευκόν.* ceterum haec ex eodem cum fr. 306 epirrhemate videntur petita esse. quod propterea moneo, ne quis cum Bergkio quid consilii in componenda comoedia secutus sit poeta hinc concludi posse opinetur. epirrhemata enim cum tota parabasi sunt *ἔξω τοῦ δράματος.*

306

μήτε ποδάνιπτρον θύραζ' ἐκχεῖτε μήτε λούτριον.

Pollux 7, 167 *καὶ τὸ ὕδωρ τοῦ λουτροῦ λούτριον, ὡς Ἀριστοφάνης ἐν Ἥρωσι κτλ.* idem 10, 78 *καλεῖται μέντοι καὶ ποδανιπτὴρ . . . τὸ δὲ ἀπ' αὐτοῦ ὕδωρ νίπτρον ἢ λούτριον ἢ ποδάνιπτρον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης λέγει. μήτε ποδάνιπτρον* Seidler.] *μήτ' ἀπόνιπτρον.*

307

κἀπὸ τῆς Διειτρέφους τραπέζης

Schol. Av. 798 *Διειτρέφης . . . ὅτι δὲ ἦν νεόπλουτος οὗτος ἐνεφαίνετο καὶ ἐν τοῖς Ἥρωσι κτλ., εἰ μὴ ἐν εἰρωνείᾳ. κἀπὸ — Διειτρέφους* Elmsl. Med. 139] *καὶ ἀπὸ — Διιτρεφοῦς.*

308

Schol. Thesmoph. 21 *οἷόν τέ πού 'στιν αἱ σοφαὶ ξυνουσίαι· διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ 'σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ'. ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων* (Theag. 125d. Reipubl. 8, 568a) *Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται, οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες. ἔοικε δὲ ἤτοι πεπλανημένος ἢ συνεξαπατῆσαι τοὺς ἄλλους, ὥσπερ ὑπονοοῦσί τινες συμπτώσεις τῷ τε Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ, ὥσπερ καὶ ἐπὶ ἄλλων τινῶν· τὸ μέντοι δρᾶμα ἐν ᾧ Εὐριπίδης ταῦτα εἶπεν οὐ σῴζεται.* cf. Eupol. 314. Sophoclis eum versum esse data opera demonstrat Aristides II 288, 2 (373, 2 Dindf.).

309

Schol. Soph. Oed. Col. 793 *δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμούς, ὡς . . . καὶ Ἀριστοφάνης Ἥρωσιν.*

310

ἐμπόλω Διοσκόρω

ἐν Ἥρωσιν Ἀριστοφάνης. Pollux 7, 15. mihi quidem *ἔμπολος* aliunde non cognitum.

311

πῶς πίομαι;

Etymol. m. 673, 1. Draco 73, 14 *τὸ δὲ πίω ἐκτείνει . . . Ἀριστοφάνης ἐν Ἥρωσι κτλ.* cf. Herodian. II 570, 10. *πίωμαι* Etym. m. V.

312

ἀνδραποδώνης

ἐν τοῖς Ἥρωσιν Ἀριστοφάνης. Pollux 7, 16.

313

ἀρτοποιία

ἐν Ἀριστοφάνους Ἥρωσιν. Pollux 7, 21.

314

ἡλίσκον

τὸν ἧλον . . ἐν Ἥρωσιν Ἀριστοφάνης κέκληκε. Pollux 10, 61. Photius *ἡλίσκον· τὸν μικρὸν ἧλον. Ἀριστοφάνης.* Pollux 10, 188 *ἥλους οἱ πολλοί, καὶ ἡλίσκους οἱ κωμῳδοὶ λέγουσιν.*

315

πυελίδα

τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον . . . Ἀριστοφάνης Ἥρωσιν. Harpocratio. cf. Photius, qui fabulae nomen omittit.

316

χερνίβιον

Ἀριστοφάνης ἐν Ἥρωσι. Athen. 9, 409c. fortasse pertinet ad fr. 306, ut alterum versum incipiant verba *μήτε χερνίβιον.*

Ad Heroes fr. 692 refert Dindorfius.

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ ΔΕΥΤΕΡΑΙ

Prorsus diversas fuisse a fabula superstite eiusque quasi partem alteram docet Athenaeus 1, 29a *Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπι-*

γράφει. quo anno actae sint non constat: nam Fritzschii quidem de ea re opinio (p. 630) admodum dubia est. finxit poeta fabulam agi ea Thesmophoriorum die, quae *Καλλιγένεια* dicebatur. cf. fr. 335. ieiunio enim peracto mulieres tum effusae laetitiae indulgebant. Preller Myth. gr.^{2} I 607. 8.

317

οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,
οὐ Χῖον, οὐδὲ Θάσιον, οὐ Πεπαρήθιον,
οὐδ' ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

Athenaeus 1, 29a *ἐν ταύτῃ* (*Θεσμοφοριαζούσαις β'*) *ὁ κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου· κτλ.* 2. *οὐδὲ* Fritzschius] *οὐ. οὐχὶ* Dindf. 3. *ἐπεγερεῖ* Brunckius] *ἐπεγείρει.* Hesychius *ἔμβολον· Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις τὸ αἰδοῖον.* cf. Av. 1256. Calligeniam haec in prologo recitare existimat Bergkius. non credo. pertinere videntur ad eandem cum fr. 318 scaenam. de *Peparethio* vino cf. Hermipp. 82, 12.

318

Α. ἰχθὺς ἐώνηταί τις ἢ σηπίδιον
ἢ τῶν πλατειῶν καρίδων ἢ πουλύπους;
ἢ νῆστις ὀπτᾶτ', ἢ γαλεός, ἢ τευθίδες;
Β. μὰ τὸν Δί' οὐ δῆτ'. Α. οὐδὲ βατίς; Β. οὔ φημ' ἐγώ.
Α. οὐ χόριον οὐδὲ πυός, οὐδ' ἧπαρ κάπρου,
οὐδὲ σχαδόνες, οὐδ' ἠτριαῖον δέλφακος;
οὐδ' ἐγχέλειον, οὐδὲ κάραβον μέγαν
γυναιξὶ κοπιώσαις ἐπεχορηγήσατε;

Athenaeus 3, 104e *περισπούδαστος δὲ ἦν πολλοῖς ἡ τοῦ καράβου βρῶσις . . . ἀρκέσει δὲ τὰ νῦν Ἀριστοφάνης ἐν ταῖς Θεσμοφοριαζούσαις οὕτως λέγων κτλ.* idem 7, 324b *Ἀριστοφάνης Θεσμοφοριαζούσαις· ἰχθῦς ἐώνηταί τις ἢ σηπίδιον. ἰχθὺς* Fritzschius. Etymol. m. 439, 42 *Ἀριστοφάνης ἠτριαῖον λέγει ἐν Θεσμοφοριαζούσαις. ἐώνηταί τις* 324b] *τις ἐώνηται* 104e. 2. *πουλύπους*] *πολύπους* A. 4. *οὔ φημ'* Porsonus] *οὐδὲ φήμ'. οὐδ' ἤμ'* Bergkius. at *ἠμί* interpositum modo sermoni invenitur. 5. *οὐ χόριον* Porson.] *οὐδὲ χόριον. οὐδὲ χόρι'* Fritzschius Thesm. p. 594. 6. *οὐδὲ* Brunck.] *οὐ δή.* 7. *μέγαν*] *μέγα* A. 8. *ἐπεχορηγήσατε* Meinek. Anal. crit. Ath. 47] *ἐπεκουρήσατε.* rectissime: nam postquam scriptum est *ἐπεχορήσατε*, id facillime mutabatur in *ἐπεκουρήσατε.* cf. fr. 551. Anaxipp. 1, 35. frustra Herwerdenus Nov. add. crit. 17 *οὐδὲ κάραβον; μέγα γυναιξὶ κοπιώσαισί γ' ἐπεκουρήσατε*, quae per ironiam efferri vult. in carabis enim potissimum magnitudinem admirabantur. cf. Athen. 3, 104cd. loquitur mulier quae Lysistra-

tae instar quasi principatum tenet sodalicii. *fessae* autem mulieres erant diuturno ieiunio choreisque ante actis.

319

ὦ Ζεῦ πολυτίμηθ', οἷον ἐνέπνευσ' ὁ μιαρὸς
φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου
καὶ βακκάριδος.

Athenaeus 15, 690d *παρὰ πολλοῖς τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις . . . Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις κτλ.* Pollux 10, 137 *ἵνα δὲ ἀποτίθενται αἱ ἐσθῆτες . . . φάσκωλοι, ὡς ἐν Θεσμοφοριαζούσαις.* Harpocratio *φάσκωλον* (*φάσκωλος δὲ* Fritzsch.) *πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς . . . Ἀριστοφάνης Θεσμοφοριαζούσαις.* Erotianus 59, 8 Klein. *βάκχαρις· εἶδος βοτάνης καὶ μύρου, οὗ καὶ Ἀριστοφάνης μέμνηται.* Photius *φασκώλιον· ἱματιοφορεῖον* (sic Porsonus)· *φάσκωλον δέ ἐστι μαρσίππιον.* Pollux 7, 79 *καὶ φασκώλους δὲ ἔλεγον οἱ παλαιοὶ τὰ τῶν ἱματίων ἀγγεῖα καὶ θυλάκους. ἐνέπνευσ'* Dobr. Addend. Arist. 105 (multo ante Cobetum N. l. 57)] *ἔπνευσ'. ἔπνευσεν* Brunckius, caesura pessima. 2. *λυόμενος* Dalecampius] *λουόμενος.* Hesych. *βάκκαρις· μύρον ποιὸν ἀπὸ βοτάνης ὁμωνύμως. ἔνιοι δὲ ἀπὸ μυρσίνης. ἄλλοι δὲ μύρον Λύδιον. ἔστι δὲ καὶ ξηρὸν διάπασμα τὸ ἀπὸ τῆς ῥίζης. ὁ μιαρός* per iocum dicit.

320

Α. ξυρόν, κάτοπτρον, ψαλίδα, κηρωτήν, λίτρον,
προκόμιον, ὀχθοίβους, μίτρας, ἀναδήματα,
ἔγχουσαν, ὄλεθρον τὸν βαθύν, ψιμύθιον,
μύρον, κίσηριν, στρόφι', ὀπισθοσφενδόνην,
κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα,
τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον,
ζῶμ', ἀμπέχονον, τρύφημα, παρυφές, ξυστίδα,
χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον.
Β. τὰ μέγιστα δ' αὐτῶν οὐ λέγεις ταυτί; Α. τί δαί;
Β. διόπας, διάλιθον, πλάστρα, μαλάκιον, βότρυς,
χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας,
σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα,
πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,
ὑποδερίδας, ἑλικτῆρας, ἄλλα πολλά θ' ὧν
οὐδ' ἂν λέγων λήξαι τις.

Pollux 7, 95 *οὐδ' ἂν εἴη φαῦλον τούτοις ὑποθεῖναι λέξιν ἐκ Θεσμοφοριαζουσῶν Ἀριστοφάνους, ἐπεὶ π ο λ λ ὰ ε ἴ δ η ἐν αὐτῇ περι-*

ἔχει γυναικείων φορημάτων, ἃ καὶ τοῖς περὶ κόσμον ἂν ἁρμόσειε ταῦτα· κτλ. Clemens Alex. Paedag. 2, 245. 6 πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις, διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας· μίτρας — ἑλικτῆρας. 1. Photius λίτρον· οὐ νίτρον Ἀττικοί. οὕτως Ἀριστοφάνης. 2. Pollux 5, 101 καὶ ἄλλους δέ τινας κόσμους ὀνομάζουσιν οἱ κωμῳδοδιδάσκαλοι, λῆρον, ὀχθοίβους, ὄλεθρον, ἐλλέβορον, πομφόλυγας, βάραθρον, περιστέρια, σαμάκια, σισύμβριον, σισάριον. ὧν οὐ ῥᾴδιον τὰς ἰδέας συννοῆσαι διὰ τὸ μηδὲ πρόχειρον εἶναί τινα κατιδεῖν εἴτε σπουδάζοντες εἴτε παίζοντες χρῶνται τοῖς ὀνόμασιν. ἴσως δ' ἂν τοῖς κόσμοις προσήκοι καὶ τὸ ἔντριμμα, ψιμύθιον, ἄγχουσα, φῦκος, καὶ τὰ ὑπογράμματα. 4. Pollux 5, 96 στρόφιον καὶ ὀπισθοσφενδόνην παρ' Ἀριστοφάνους (ἂν προσθείης λαβών). cf. Eustath. Dionys. Perieg. 1. 5. Etym. m. 782, 9 ὑπόγραμμα . . . ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι· καὶ ὑπογεγραμμένη, ἐστιβισμένη. Ἀριστοφάνης. quae non solum ad fr. 880, sed etiam ad hunc versum pertinere possunt. 6. Hesych. καλάσιρις· χιτὼν πλατύσημος ἢ ἡνιοχικὸς καὶ ἱππικὸς χιτών. ἔνιοι δὲ λινοῦν καὶ ποδήρη χιτῶνα ἰσχνόν (χιτωνίσκον M. Schmidt). Ἀριστοφάνης Θεσμοφοριαζούσαις. 10. Photius μαλάχιον· κόσμος χρυσοῦς γυναικεῖος. οὕτως Ἀριστοφάνης. Hesychius βοτροιδία (βοτρύδια)· ἐνωταρίων εἶδος. οἱ δὲ βότρυς. ἢ Θεσμοφοριάζουσιν (?). 11. Harpocratio ἀμφιδέαι· εἰσὶ περισκελίδες τινές. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. 12. Pollux 10, 167 παρὰ Ἀριστοφάνει σφραγῖδας, ἁλύσεις. 13. Moeris 301 πομφόλυγας· τὰ δερμάτια, ἃ ἐπὶ τῶν κεφαλῶν αἱ γυναῖκες ἔχουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Aelian. V. h. 1, 18 τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀριστοφάνης λεγέτω.

1. ψαλίδα] ψαλίδια apud Bekkerum, contra metrum. 3. om. Clemens. ἔγχουσαν Dindf.] ἄγχουσαν. Atticorum forma est ἔγχουσα. 4. μύρον] νίτρον Clemens. κίσηριν] καὶ σιδήριον κίσηριν codices Clementis, nisi quod κίδηριν M et καὶ σιδήριν κίδηριν P. στρόφι' Bergk.] στροφίον Pollucis A et Clemens, στρόφον BC. 5. κάλυμμα] ὀπισθοκάλυμμα codices Clementis. περιδέραι'] περιδέρραια Clem. BR. περιδερραία F. περιδερέα M. περιδέρεα V et suprascr. αι rec. MP. ὑπογράμματα] ὑποράμματα BFMR Clem. 6. τρυφοκαλάσιριν] τρυφοκαλάσισιν Clem. ἐλλέβορον om. Clem. 7. ἀμπέχονον] ἀμπεχόνιον Clem. τρύφημα] πόρπημα Salmas. Exerc. Plin. 808. 8. χιτῶνα] κιθῶνα (κίθωνα) Clem. κομμώτριον] χιτώνιον Clem. deinde Pollucis A: ἕτερά τε ὅσα οὐδεὶς μνημονεύσειε ποτὲ λέγων. 9. αὐτῶν οὐ λέγεις ταυτί] οὐ λέγεις αὐτῶν ταυτά A Poll. om. (cum τὰ μέγιστα δ') BC οὐκ εἴρηκα τούτων. εἶτα τί Clem. 10. μαλάκισν] μαλάκια Pollucis A. μολόχιον Clem. μαλάχιον Dindf. in ed. Clem. 10. 11. βότρυς, χλίδωνα] βοτρυχλιδῶνα Clem., βότρυν, χλίδωνα Bergkius et Dindf. 11. ἀμφιδέας] ἀμφιλέας cod. Clem. 14. ὑποδερίδας] ὑποθερίδας cod. Clem. ἑλικτῆρας] ἑρικτῆρας Clem. BFMNR,

in M λ superscr. rec. ἄλλα πολλά ϑ' ὧν Fritzschius Daetal. 73 n. 38] ἀλλ' ἀφ' ὧν. 15. λῆξαι τις Fritzschius] λέξαις Poll. λέξαις τὸ πλῆϑος κοσμίων Bergkius Clementem secutus, qui enumerationi suae addit ἐγὼ μὲν ἔκαμον καὶ ἄχϑομαι λέγων τὸ πλῆϑος τῶν κοσμίων.

1. Ach. 1176 κηρωτὴν παρασκευάζετε, ad vulnus sanandum. hic sine dubio pro fuco est. 2. ὀχϑοίβους. cf. Pherecr. 100. μίτρας, ἀναδήματα cf. Lachmann. Lucret. 4, 1129. 3. ὄλεϑρον firmatur Poll. 5, 101. Photius ὄλεϑρον· τὸ μόριον τὸ γυναικεῖον (κοσμάριόν τι γ. H. Iacobi V p. CXXXVI). idem Iacobius ὄλεϑρον quasi inprecationem quandam interpositam esse posse arbitratur. at copiosius talia inseruntur, ut non ita delitescant ut hic. Hesych. ὄλεϑρος βαϑύς· ἔνιοι ἐπὶ κόσμου γυναικείου, ubi βαϑύς certe ex depravato iam codice Aristophanis adscriptum. fortasse pro ὄλεϑρον scribendum ἔλυτρον, tum autem certissime τιγγάβαρι (vel τιγγάβαρυ, sic enim fere scribebatur, cf. Cramer. Anecd. Ox. II 120, 29), ψιμύϑιον. eiusmodi enim catalogorum ea lex est, ut ne ullum nomen epitheton accipiat. cf. Diocl. 9. 10. (κιννάβαριν Anaxandrid. 14). Photius 592, 7 τιγγάβαρι (γγ ex ττ vel νν) καὶ κιννάβαρι· τὸ μὲν αὐτοφυὲς περὶ Ἰβηρίαν καὶ Κόλχους· τὸ δὲ ἐξ ἄμμου λαμπυριζούσης καϑάπερ ὁ κόκκος, ὡς Θεόφραστος ἐν τῷ περὶ λίϑων. Hesychius τίγγα· Διοκλῆς ἐν Μελίτταις (9. 10). Ἡρακλέων δὲ οὐ διελὼν ὅτι βαρὺ (Sopingius τιγγάβαρι) τὸ κιννάβαρι λέγει. manifesto Hesychius τίγγα βαρύ, non τίγγα scripsit. aliter enim οὐ διελών nullam habet interpretationem. 4. στρόφια. cf. Lys. 931. Thesm. 139. 251. 255. 638. 6. τρυφοκαλάσιριν. Hesych. τρυφοκαλάσιρις (cod. τρύφος καλασιρίς)· ἔνδυμα γυναικεῖον. cf. Cratin. 30. Herodot. 2, 81. ἐλλέβορον. Hesych. ἐλλέβορος ... κόσμος γυναικεῖος χρυσοῦς. cf. Nicostrat. 33. κεκρύφαλον. Thesm. 138. 257. 7. παρυφές. Pollux 7, 53 παρυφὲς δὲ καὶ παραλουργὲς τὸ ἑκατέρωϑεν ἔχον παρυφασμένην πορφύραν. Photius παράπηχυ· ἱμάτιον τὸ παρ' ἑκάτερον μέρος ἔχον πορφύραν· τοῦτο δὲ καὶ παρυφὲς καλοῦσιν, τὸ δὲ κύκλῳ τὴν πορφύραν ἔχον ἔγκυκλον. ξυστίδα, cf. Nub. 70. 8. χιτῶνα suspectum. quid enim simplicissima vestis inter luxuriae instrumenta? non minus βάραϑρον. scribo φείδωνα, βασάραν. Pollux 10, 179 εἴη δ' ἂν καὶ φείδων τι ἀγγεῖον ἐλαιηρόν. idem 7, 60 Λυδῶν δὲ χιτών τις βασάρα. iam intellegitur quomodo χιτῶνα in verba poetae inrepserit. 9. fort. τὰ μέγιστα δ' αὐτῶν οὐ λέγεις. Α. τί δαί; Β. ταδί· διόπας κτλ. 10. διόπας. Hesych. διόπαι· εἶδος ἐνωτίων. τινὲς δὲ ὑποδημάτων. idem πλάστρα· ἐνώτια. μαλάκιον. sic etiam Hesych. μαλάκιον· γυναικεῖον κοσμάριον. Naevius Lycurg. Non. crocotula '*pallis, patagiis, crocotis, malaciis, monilibus*'. 11. χλίδωνα. Herodian. I 229, 18 Lentz. χλίδων, χλίδωνος· οὗτος δὲ λέγεται κόσμος ὁ περὶ τοὺς βραχίονας. Theodos. (Dindf. Aristid. III 418) χλίδων· σημαίνει δὲ τὸν περὶ τοὺς βραχίονας κείμενον κόσμον. Athen. 12, 525ef (Σάμιοι) ἐφόρουν χλι-

δῶνας περὶ τοῖς βραχίοσιν. ἀμφιδέας. Hesych. *ἀμφιδέαι· ψέλλια, κρίκοι, δακτύλιοι.* 13. ἀποδέσμους. cf. fr. 325. Hesychius (non recte) *ἀπόδεσμος· κόσμιόν τι γυναικεῖον. περικεφάλαιον.* σάρδια. Menand. Athen. 3, 94b. Plat. Phaed. 110d *σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους.* Theophr. fr. 2, 8 *σπάνιοι πάμπαν εἰσὶ καὶ σμικροὶ ἥ τε σμάραγδος καὶ τὸ σάρδιον.* cf. 2, 23. 30. 14. non neglegendus rarissimus ictus in *ὑποδεριδάς.* ἑλικτῆρας. Bekker. Anecd. 248, 23 *ἑλικτήρ· εἶδός ἐστιν ἐνωτίου. ἐκλήθη δὲ οὕτως ἴσως ἐπεὶ ἑλικὴν (ἑλικτὴν) ἔχει τὴν κατασκευήν.* cf. Lys. 12, 19 *τῆς Πολεμάρχου γυναικὸς χρυσοῦς ἑλικτῆρας . . . ἐκ τῶν ὤτων ἐξείλετο.* cum *ὧν* non habeat unde pendeat, scribendum censeo ἄλλα πολλά θ' ὧν οὐδ' ἂν λέγων τὠνόματα λέξαις εὐπετῶς. nam *λέξαις* Pollux, et de syntaxi *λέγων λέξαις ἂν* cf. Meinek. III 441.

321

ὅσα περίεργ' αὐταῖσι τῶν φορημάτων
ὅσοις τε περιπέττουσιν αὐτὰς προσθέτοις.

Schol. Plut. 159 *περιπέττουσι· διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ· ὁ αὐτὸς Θεσμοφοριαζούσαις κτλ.* ὅσα Bergk.] ὅσ' ἦν Hemsterh. et ut videtur V. ὃς ἦν περίεργος Ald. ὅσοις Bergk.] ὅσαις Porson. et ut videtur V. ὅσαι ἔτι Ald. αὐτὰς Toup.] ἑαυτὰς. προσθέτοις] πρόσθε V. ἦν ferri non poterat propter *περιπέττουσιν.* ὅσαις minus recte quam ὅσοις, quia non solum *κόμην* habent *πρόσθετον*, sed multa alia.

322

ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς πυλαγόρας
* * * *καὶ τὸν ἱερομνήμονα.*

Schol. Nub. 623 *ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ.* Harpocratio *Πύλαι. Πυλαία δ' ἐκαλεῖτο ἡ εἰς τὰς Πύλας σύνοδος τῶν Ἀμφικτυόνων . . . ἐπέμποντο δ' ἐκ τῶν πόλεων τῶν μετεχουσῶν τῆς ἀμφικτυονίας τινὲς οἵπερ ἐκαλοῦντο πυλαγόραι . . . Ἀριστοφάνης ἐν ταῖς δευτέραις Θεσμοφοριαζούσαις.* cf. Strabon. 9, 420. lacunae signum posuit Bergkius. sed vix quicquam excidere potuit aliud quam ἐκ τῆς Πυλαίας.

323

ὡς διά γε τοῦτο τοὔπος οὐ δύναμαι φέρειν
σκεύη τοσαῦτα καὶ τὸν ὦμον θλίβομαι.

Schol. Ran. 3 *ὡς καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις ὁ θεράπων φησίν κτλ.* σκεύη] σκεύει R. φέρειν σκεύη Seidlerus] σκεύη φέρειν.

324

οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
εἶπέν μ' ὁ κῆρυξ, οὗτος ἀλφάνει.

Bekker. Anecd. 382, 8 et Suidas *ἀλφάνει· εὑρίσκει. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. οὗτος*] *οὗτος ὠνὴν* Meinek. *πρᾶσιν οὗτος* Bergkius. *οὗτος ἀλφ. πόσον;* C. F. Hermann. Philol. II 434, quae mira est verborum in praeconio conlocatio. *οὑτοσὶ τί ἀλφ.* Cobet. Mnem. nov. II 185. cf. Eupol. 258.

325

τὴν πτέρυγα παραλύσασα τοῦ χιτωνίου
καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν τὰ τιτθία.

Pollux 7, 66 *τὸ νῦν καλούμενον ὑπὸ τῶν γυναικῶν στηθόδεσμον ἀπόδεσμον ἐκάλουν. εὕροις δ' ἂν ὀνομαζόμενον ἀπόδεσμον ἐν Θεσμοφοριαζούσαις Ἀριστοφάνους κτλ. τῶν ἀποδέσμων*] *τὸν ἀπόδεσμον* Bergk. *τὰ τιτθία* Brunck.] *τιτθίδια*, quod retinent et Bergkius et Bekkerus. at non nescio cuius, sed *τῆς παραλυσάσης τὰ τιτθία ἐνῆν.* nisi forte sequebatur *ὡραιότατα.*

326

καὶ κατ' Ἀγάθων' ἀντίθετον ἐξυρημένον.

Bekker. Anecd. 410, 14 *ἀντίθετον· τὸ σχῆμα τῆς φράσεως, ὡς ἡμεῖς. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. κατ' Ἀγάθων'* Bekker.] *κατ' ἀγαθόν. ἐξυρημένον* O. Iahn. Mus. Rhen. IIII 638] *ἐξευρημένον.* Pers. Sat. 1, 85 *crimina rasis librat in antithetis.* quod apud Aristophanem aliam quoque notionem (obscaenam sine dubio) subesse suspicatur, id plus quam dubium est. *antitheta* (pro quibusvis dicendi artificiis) *rasa* esse dicuntur, i. e. *nimia arte expolita.* Athen. 5, 187 c *χλευάζει* (*Πλάτων*) *τὰ ἰσόκωλα τὰ Ἀγάθωνος καὶ ἀντίθετα.* quorum nimium studium cum nescio quis ei suaderet ut inminueret, *εἶπεν, ἀλλὰ σύ γε, γενναῖε, λέληθας σαυτὸν τὸν Ἀγάθωνα ἐκ τοῦ Ἀγάθωνος ἀφανίζων.* Aelian. V. h. 14, 13.

327

Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα.

Pollux 9, 36 *ταῦτα δὲ καὶ ἄμφοδά ἐστιν εὑρεῖν κεκλημένα, οὐ παρ' Ἀριστοφάνει μόνον, εἰπόντι ἐν Θεσμοφοριαζούσαις κτλ., ἀλλὰ καὶ παρ' Ὑπερείδῃ κτλ.* Etym. m. 92, 26 *λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς ἐτυμολόγος* (*ἐτυμολογῶν* Valckenar.) *τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὴν ἄμφοδον ἤγουν παρὰ τὸ παρὰ τὴν ὁδὸν γεννηθῆναι. ὁ δὲ Ἀριστοφάνης κωμικευόμενος λέγει, ὅτι οὐκοῦν Ἄμφοδος ὤφειλεν κληθῆναι.* Hyperid. fr. 163 *τὴν οἰκίαν τὴν μεγά-*

λην τὴν Χαβρίου καλουμένην καὶ τὸ ἄμφοδον. Eurip. fr. 181 (indic. Bergk.) τὸν μὲν κικλήσκει Ζῆθον· ἐζήτησε γὰρ | τόκοισιν εὐμάρειαν ἡ τεκοῦσά νιν, non minus frigide. τεθεῖσθαι suspectum. male Herwerdenus Obs. crit. 40 γε κεῖσθαι (debebat enim τούτῳ γε κ.), recte Cobetus V. l.² 312 τίθεσθαι.

328

σακίον, ἐν οἷσπερ τἀργύριον ταμιεύεται.

Pollux 10, 152 καὶ σακίον, ὅταν φῇ ἐν Θεσμοφοριαζούσαις κτλ. i. e. σακίον ex numero eorum, ἐν οἷσπερ κτλ. Eurip. Orest. 920 αὐτουργός, οἵπερ καὶ μόνοι σῴζουσι γῆν. Suppl. 867 ἀληθὴς ἦν φίλος ... ὧν ἀριθμὸς οὐ πολύς. Helen. 440 Ἕλλην πεφυκώς, οἷσιν οὐκ ἐπιστροφαί. Porson. Eur. Orest. 910 suae ed.

329

ἀναβῆναι τὴν γυναῖκα βούλομαι.

Zonaras I 195 ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει ... τὸ δ' ἀναβὰς τὸν ἵππον οὐ πάνυ δόκιμον. Ἀριστοφάνης Θεσμοφοριαζούσαις κτλ. Cram. An. Par. IIII 113, 18. Moeris 187, 5 ἀναβῆναι τὴν γυναῖκα βούλομαι Ἀττικοί· ἀναβῆναι ἐπὶ τὴν γυναῖκα Ἕλληνες. initio iambus deest.

330

τὸ χαλκίον θερμαίνεται.

ἐν ταῖς Θεσμοφοριαζούσαις Ἀριστοφάνους εἰρημένον ... οὕτω πως ἤκουον, ὡς εἰς πότον εὐτρεπιζομένων τῶν γυναικῶν. Pollux 9, 69. cf. Eupol. 108. Bekker. Anecd. 99, 21 θερμαίνεσθαι· οὐ μόνον τὸ ὕδωρ, ἀλλὰ καὶ τὸ λεβήτιον ἢ χαλκίον. initium tetrametri iamb. potius quam trimetri pars videtur esse.

331

ἀγὼν πρόφασιν οὐ δέχεται

Schol. Plat. 370 Bekk. ἐπὶ τῶν φύσει ῥαθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς ... καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'. in lemmate schol. ἀγὼν (sic enim scribendum) πρόφασιν οὐκ ἀναμένει, in exemplis ἀγὼν προφάσεις οὐ δέχεται. Macar. 1, 16 ἀγὼν γὰρ οὐ μέλλοντος ἀθλητοῦ μένει | ἀλκήν, quae tragici sunt verba, non Aristophanis, ut Leutschio videbantur. ἀλκή enim comicis non usitatum. cf. Schneidewin. Ibyc. p. 165. Nauck. Trag. fr. 689. H. Iacobi V p. CXXXVII. Aristophanes (cf. Ach. 392) videtur scripsisse aut ἀγὼν πρόφασιν οὐκέτ' ἀναμένει aut ἀγὼν πρόφασιν οὐχὶ δέξεται (οὐκ ἐδέξατο).

332

ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος

Schol. Vesp. 1038 ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης ... Θεσμοφοριαζούσαις κτλ. aut dimeter anap. aut initium tetrametri.

333

ἦν μέγα τι βρῶμ' ἔτι τρυγῳδοποιομουσική,
ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον
λαμπρὸν ἐκόμιζεν ἀπόνως παραβεβλημένον,
ἄλλα τε τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.

Athenaeus 3, 117 c ὅτι δὲ διαβόητον ἦν τὸ τοῦ Κράτητος ἐλεφάντινον τάριχος, μαρτυρεῖ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις διὰ τούτων κτλ. 1. ἦν Elmsl. Ach. 499] ἢ. βρῶμ'] χρῆμ' Bergk. ῥῶμ' Nauck. Philol. VI 414 ex Photio 493, 22, non feliciter. ἔτι Elmsl.] ἐστὶν ἡ. 2. ἡνίκα Porson. Miscell. 236] ἡνὶ A. 3. ἐκόμιζεν Casaub.] ἐνόμιζεν. ἐνομίζετ' Bergk. παραβεβλημένον] παρακεκλημένον BP, quod Meinekius Anal. crit. Ath. 55 praefert, quia παραβεβλημένον 'tertia correpta ab Aristophane dici' non potuerit. fort. π α ρ α τ ε τ μ η μ έ ν ο ν. cf. Lys. 116. 132. Alexid. 167, 12. verum latet alia corruptela. nam salsamentum elephantinum non erat Crateti pro praemio oblatum sed ab ipso inventum et quasi ferculum magnificum spectatoribus adpositum (Cratet. fr. 29). saepissime enim comici artem suam cum lauto convivio comparant, quo populum excipiant. itaque hoc dicit poeta: 'erat sane fructuosa Atheniensibus comoedia eo tempore, quo Crates tam magnificas epulas quam fuit salsamentum elephantinum spectatoribus offerebat et multae aliae id genus deliciae praesto erant'. quae non sine ironia dicta esse adparet. scribendum igitur est ἡνίκα Κ ρ ά τ η ς π ο τ ὲ τ. ἐλ. λ. ἐκόμιζεν. cf. Ach. 13. per totum fragmentum numeros paeonicos retinendos esse constat.

334

μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους
μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας·
ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.

Hephaestio 13, 5 ἐν δὲ ταῖς δευτέραις (libri προτέραις) Θεσμοφοριαζούσαις καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τοῖς τετραμέτροις παρέλαβε κτλ. ex eodem ut videtur ac fr. 333 sive cantico sive epirrhemate excerptum. probabiliter huc Fritzschius rettulit fr. 699. invocatione Musarum non opus esse poeta gloriatur: semper enim secum esse.

335

Schol. Thesm. 298 (*Καλλιγένεια*) *δαίμων περὶ τὴν Δήμητραν, ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν.* Photius *Καλλιγένειαν· Ἀπολλόδωρος μὲν τὴν γῆν, οἱ δὲ Διὸς καὶ Δήμητρος θυγατέρα· Ἀριστοφάνης δὲ ὁ κωμικὸς τροφόν.* itaque Calligenia in prologo fabulae nutricem se esse Cereris profitebatur.

336

οἶνος ἀνθοσμίας

ὁ εὐώδης καὶ ἡδύς, ὡς Ἀριστοφάνης ἐν Βατράχοις (1150) *καὶ ἐν Θεσμοφοριαζούσαις.* Erotianus 104, 14 Klein. fortasse commemorabatur in versu haud procul remoto a fr. 317. Bergkius figurate poesin ita adpellari censet.

337

λύκος ἔχανεν

παροιμία . . . ἐπὶ τῶν συνελπιζόντων χρηματιεῖσθαι, διαμαρτανόντων δὲ λέγουσιν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'. Photius. Suidas *ἐπὶ τῶν ἐλπιζόντων μέν τι ἕξειν, διαμαρτόντων δὲ τῆς ἐλπίδος.* idem *λύκος χανών· ἐπὶ τῶν ἀπράκτων.* cf. Diogenian. 6, 20 et Cratin. 52. Plaut. Trinumm. 169 (1, 2, 132) *adesurivit et inhiavit acrius lupus.*

338

λακωνίζειν

παιδικοῖς χρῆσθαι. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'. Photius et Suidas. idem Phot. 192, 14 *Κυσολάκων ὁ Κλεινίου· ὁ τῷ κυσῷ λακωνίζων· τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν ἔλεγον· Μελαίνῃ* (*Ἑλένῃ* Ruhnk. auct. Hesych. II 390) *γὰρ Θησεὺς οὕτως ἐχρήσατο, ὡς Ἀριστοτέλης* (Meinekius II 200 *Ἀριστοφάνης*). idque poeta in hac ipsa fabula videtur narravisse. cf. Lys. 781 sq. 805 sq.

339

Athenaeus 14, 619a *καὶ τῶν πτισσουσῶν ἄλλη τις* (*ᾠδή*), *ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.*

340

ἀμεινόνως

Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Bekker. Anecd. 78, 24.

341

βαρβός

μύστρον. ἐν Θεσμοφοριαζούσαις. Hesychius. neque de vocabulo ipso constat neque quo pertineat. nam verba *ἐν Θεσμοφοριαζούσαις* ad glossam proxime antecedentem *βάρβιτος* (Thesm. 137) refert Pearso.

342

(*ἀπὸ τῶν*) *βαυκίδων*

ὅ ἐστιν εἶδος ὑποδημάτων Ἰωνικῶν, οἷς αἱ Ἰάδες χρῶνται, οὗ καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις μέμνηται. Aspasius Aristot. Eth. 58a. cf. Alexid. Athen. 13, 568a (7).

343

διαλέξασθαι

Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Bekker. Anecd. 88, 28. Pollux 2, 125 *Ὑπερείδης διειλεγμένος ἐπὶ ἀφροδισίων, Ἀριστοφάνης δὲ διαλέξασθαι ἔφη.* Bekker. Anecd. 37, 4 *διαλέξασθαι, οὐ μόνον διαλεχθῆναι.* Hesych. *διαλέγεσθαι· ἐπὶ τοῦ συνουσιάζειν.*

344

ἐπανορθώσασθαι

Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Bekker. Anecd. 96, 25.

Praeterea ad Thesmophoriazusas fr. 666 refert Dindorfius.

ΚΩΚΑΛΟΣ

Minos rex Daedalum in Siciliam fugientem secutus ad Inycum vel Camicum, Siculorum oppidum, pervenit, ubi Cocalus regnabat. is Daedalum reddere iussus cum id se facturum simulasset, magnifico Minoem hospitio excepit, sed lavantem sive ipse sive filiarum ope, quas Daedalus arte sua sibi conciliaverat, oppressit et corpus Cretensibus reddidit regem in balneo lapsum et aqua calida exstinctum esse excusans. Diodor. 4, 79. Strab. 6, 273. Athen. 1, 10e. Paus. 7, 4, 5. Schol. Hom. Il. 2, 145. Hygin. Fab. 44. Grauert. Mus. Rhen. II (1828) 507. 8. Meinek. Anal. Ath. 6. tractaverat hanc fabulam Sophocles in Camiciis, comice in ridiculum deflexit Aristophanes.

Vit. Aristoph. XXVII 7 Duebn. *πρῶτος δὲ καὶ τῆς νέας κωμῳδίας τὸν τρόπον ἐπέδειξεν ἐν τῷ Κωκάλῳ.* XXVIII 69 *ἔγραψε Κώκαλον, ἐν ᾧ εἰσάγει φθορὰν καὶ ἀναγνωρισμὸν καὶ τἄλλα πάντα ἃ ἐζήλωσε Μένανδρος.* Argument. Plut. IIII *τελευταίαν δὲ*

διδάξας τὴν κωμῳδίαν ταύτην (Πλοῦτον) ἐπὶ τῷ ἰδίῳ ὀνόματι . . . τὰ ὑπόλοιπα δύο δι' ἐκείνου (Ἀραρότος τοῦ υἱέος) καθῆκε, Κώκαλον καὶ Αἰολοσίκωνα. quo factum est ut interdum Araroti fabula tribueretur.

345

παρέσο, κατέτριβεν ἱμάτια κἄπειτά πως
φῷδας τοσαύτας εἶχε τὸν χειμῶν' ὅλον.

Erotianus 133, 9. 134, 3 Klein. *φῷδες· ἔστι μὲν ἡ λέξις Δωρική, καλοῦσι δὲ φῷδας τὰ ἐκ τοῦ πυρὸς γινόμενα, μάλιστα δὲ ὅταν ἐκ ψύχους ἐν τῷ πυρὶ καθίσωσι, στρογγύλα ἐπιφλογίσματα . . . καὶ Ἀριστοφάνης ἐν Κωκάλῳ φησί κτλ. παρέσο] πάρες ὦ* Fritzsch. Euphros. I 18. *πάρες, ὦ* Bergkius (non Meinekius, ut est apud Kleinium). *πατρὸς* Dindorf. *κἄπειτά πως] κἄπειτα πῶς* C. *τοσαύτας] τοιαύτας* B. *χειμῶν' ὅλον* Eustachius et Seidler. Aristoph. Fr. 11] *χειμώναυλον. Κωκάλῳ* vulg.] *κολάκῳ* omnes boni cod. praeterea Milleri cod. Flor. Etym. m. (Mélanges 305) *εἴχετον* pro *εἶχε τόν.* neque *πάρες ὦ* neque *πάρες ὦ* admitti potest. facillime intellegitur Eurip. fr. 310 N. *πάρες, ὦ σκιερὰ φυλλάς, ὑπερβῶ κρηναῖα νάπη,* facillime eius carminis parodia Vesp. 757 *πάρες, ὦ σκιερά.* at hic neque parodiae locus est neque apta earum vocum (omisso praesertim vocativo) interpretatio excogitari potest. videntur inter *παρέσο* et *κατέτριβεν* propter earum quae sequebantur similitudinem paucae litterae excidisse: *Α. (πάντα γὰρ) παρεὶς | ο(ἴκοι) κατέτριβε θαἱμάτια. Β. κἄπειτα πῶς | φῷδας τοσαύτας ἔσχε; Α. τὸν χειμῶν' ὅλον | (παρὰ τὸν ἰπνὸν καθῆστο).* constat pustulas significari in Minois corpore a Cretensibus inventas, easque alio modo quam quo natae erant a Cocalo explicari. Pollux 7, 10 *φῷδες δὲ αἱ ἀπὸ τῆς φλογὸς φλύκταιναι.* Bekker. Anecd. 70, 27 *φῷδες· τὰ ἐν τοῖς σκέλεσι γινόμενα ὑπεκκαύματα ὑπὸ τοῦ πυρός, ἐπειδάν τις πλησίον αὐτοῦ καθιζάνῃ . . . κλίνεται φῳδός. ἑνικῶς δὲ οὐ λέγεται, οὐδε δυϊκῶς, ἀλλὰ πληθυντικῶς.* cf. etiam Schol. Aristoph. Plut. 535.

346

Α. ἦ λοιδορία τις ἐγένεθ' ὑμῖν; Β. πώμαλα·
οὐδ' εἶπον οὐδέν.

Harpocratio *πώμαλα· ἀντὶ τοῦ οὐδαμῶς . . . πολὺ δ' ἐστὶν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοφάνης· λοιδορία κτλ.* Suidas *πώμαλα· . . . παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ' ἓν πώμαλα.* Hesych. *κῦρον· οὔτ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον (οὐδὲ πρὸς κύρον* cod.), *ὦ γύναι. σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον,* unde Fritzschius alterum versum suppleri iussit. *ἦ* initio addidit Bergkius.

ἐγένεθ'] *ἐγεννήθ'* BCG. 2. *οὐδ'* Fritzschius] *οὐδενὶ* A, *οὐδὲ* BCG. *οὐδὲν* reliqui. *οὐδέν* C] *οὐδένιν* B, *οὐδενί* reliqui. Fritzschio alterum versum supplenti non adsentior, siquidem *οὐδ' εἶπον οὐδέν* etiam a quovis iambographo scribi poterat, *κῦρον* autem vix fuisse comicorum, immo ne Atticorum quidem videtur. omnino autem, cum Suidas nihil nisi *πώματα* ex Cocalo excerpserit, dubium est an cetera ad alteram fabulam pertineant. cf. Plut. 66. Pherecr. 9. si ad Cocalum, videtur conloquium esse Cocali cum altero nescio quo quaerente, an forte rixa orta hospitem occiderit.

347

ἀλλ' ἐστίν, ὦ πάτερ, κομιδῇ μεσημβρία,
ἡνίκα γε τοὺς νεωτέρους δειπνεῖν χρεών.

Athenaeus 4, 156 b *Ἀριστοφάνης ἐν Κωκάλῳ ἔφη κτλ.* 2. *γε* Dindf.] *καὶ*. Brunckius *ὁπηνίκα*.

348

ἐκδότω δέ τις
καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο.

Photius et Suidas *ὧδε· οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε* (*huc*), *ὡς ἡμεῖς . . . Ἀριστοφάνης Κωκάλῳ κτλ.* cf. Vesp. 529. Plut. 1194. *δίφρω*] *δίφρωι* cod. Phot. *ψηφολογεῖον* Porson] *ψηφολόγιον* cod. Phot., *ψηφολόγον* Suid. (C *ψοφολόγον*).

349

κοφίνους δὲ λίθων ἐκέλευες
ἡμᾶς ἱμᾶν ἐπὶ τὸν κέραμον.

Pollux 7, 162 *καὶ αὐτὸ δὲ τὸ τέγος οὐ μόνον οἱ νῦν κέραμον ὀνομάζουσιν, ἀλλὰ καὶ Ἀριστοφάνης . . . εἰπὼν ἐν Κωκάλῳ κτλ.* *ἡμᾶς ἱμᾶν* Bergkius] *ἡμᾶς*. Kuehnius *ἱμᾶν*. Bekker. Anecd. 47, 19 *κέραμον, ὡς ἡμεῖς, τὸν ἐπὶ τοῦ στέγους*. Nub. 1126. fortasse Camicus obsidebatur.

350

Athenaeus 11, 478 d *Ἀριστοφάνης Κωκάλῳ· ἄλλαι ὑποπρεσβύτεραι γρᾶες Θασίου μέλανος μεστὸν κεραμευομέναις κοτύλαις μεγάλαις ἔγχεον ἐς σφέτερον δέμας οὐδένα κόσμον, ἔρωτι βιαζόμεναι μέλανος οἴνου ἀκράτου.* *οὐδένα κόσμον* Toupius Emend. II 94] *οὐδὲν ἄκοσμον*. *ἔρωτι* — *ἀκράτου* delet Toupius. Madvigius Philol. I 676 deletis *γρᾶες* et *μέλανος οἴνου ἀκράτου* ut interpretamentis *ἄλλαι δ' ὑποπρεσβύτεραι Θασίου μέλανος μεστὸν κέραμον θέμεναι κοτύλαις μεγάλαις ἔγχεον* (vel *ἐνέ-*

χουν) σφέτερον δέμας οὐδένα κόσμον ἔρωτι βιαζόμεναι κτλ., continuatis anapaestis. Herwerdenus quae effinxit cf. Mnem. nov. VI 60. fallitur uterque μακρόν nescio quod esse censens, cui sententia minime convenit. sunt tetrametri anapaestici, quos Athenaeus transpositis verbis obscuravit:

ἄλλαι δ' ὑποπρεσβύτεραι Θασίου μέλανος πόθῳ οὐδένα κόσμον
κέραμον θέμεναι κοτύλαις μεγάλαις σφέτερον δέμας οἴνου ἐμέστουν.

ἔρωτι βιαζόμεναι est glossema nominis πόθῳ, ἔγχεον ἐς verbi ἐμέστουν, ex quo μεστὸν remansit. κέραμον, ut Herodot. 3, 6 (bis).

351

Macrobius Saturnal. 5, 18, 4. 5 *monstrabo, hunc morem loquendi pervagatum fuisse ut Acheloum pro quavis aqua dicerent. Aristophanes vetus comicus in comoedia Cocalo sic ait,* ἤμουν ἄγριον βάρος. ἤτειρεν γάρ τοί μ' οἶνος οὐμειξας πόμα Ἀχελῴῳ. *gravabar, inquit, vino, cui aqua non fuisset admixta, id est mero.* ἤτειρεν] ἤγειρε Bergk. οὐμειξας] οὐ μιγεὶς hb. 'cod. reg. 9371 ΗΓΕΙΡΕΝΤΑΡΟΙΝΟCΟΥΜΕΙΖΑCΠΟΜΑ'. Bergk. — *non excitat e somno* nimia vini potio. itaque Cobetus Mnem. V 192 ἔτειρε coni. Lys. 959. anapaestos H. Iacobi ἤμουν ἄγριον | βάρος· ἤγειρεν γάρ τοί μ' οἶνος | πρόσθ' οὐ μιχθεὶς Ἀχ., glyconeos Dindorfius restituit ἤμ. ἄγρ. βάρος· | κἄτειρε γὰρ οἶνος οὐ | μεγεὶς Ἀχ. fortasse ἤμουν οὖν ἄγριον βάρος· | ἔτειρε γάρ μ' οἶνός θ' ὃν οὐ μίξας ποτὸν | ἔδωκ' Ἀχελῴῳ καὶ —. praeterea in v. 1 fortasse scrib. ⏑–⏑ ἤμουν οὖν ἄγριον βορᾶς βάρος.

352

χρυσὸς ὁ Κολοφώνιος

μέμνηται ταύτης Ἀριστοφάνης ἐν Κωκάλῳ. εἴρηται δὲ παρόσον οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν ἐργάζεσθαι νομίζονται. καὶ Ἡρόδοτος δὲ Κολοφώνιον καλεῖ τὸν ἄριστον χρυσόν. Zenobius 6, 47. Herodoti locum nemo repperit. cf. Greg. Cypr. Leyd. 3, 38. Apostol. 18, 37.

353

ἰπνός

Ἀριστοφάνης δὲ ἐν Κωκάλῳ καὶ τὸν κοπρῶνα οὕτως εἶπεν. Hesychius. Pollux 5, 91 τὸν δὲ κοπρῶνα καὶ ἰπνὸν Ἀριστοφάνης καλεῖ.

354

κορινθιάζομαι

τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν. ἢ τὸ μαστροπεύειν. Ἀριστοφάνης ἐν Κωκάλῳ. Stephanus Byz. Κόρινθος.

355

στραγγουρία

ὡς Ἀριστοφάνης ἐν Κωκάλῳ. Pollux 4, 187. (cod. Falckenb.)

Praeterea cf. fr. 427.

ΛΗΜΝΙΑΙ

Lemnias scripserat Sophocles, Hypsipylen Aeschylus et Euripides. atque Aeschylea quidem et Sophoclea tragoedia Argonautarum cum Lemniis mulieribus consuetudinem, Euripidea Opheltae Archemorive praematuram mortem continebat. Aristophanem Lemniarum Argonautas hospitio excipientium imagine Atticarum mulierum libidines notavisse simulque Cratini Thraessarum exemplo Bendin, deam Thraeciam, eiusque novam in Attica religionem acerbe commemoravisse Bergkius conicit, actam autem fabulam eo tempore, quo Bendis, diu privatim culta, etiam publice ab Atheniensibus fuerit recepta, i. e. Ol. 92, 2—4. de Bendide cf. etiam Boeckh. Opusc. IIII 449.

356

Λῆμνος κυάμους τρέφουσα τακεροὺς καὶ καλούς.

Athenaeus 8, 366cd Ἀριστοφάνης ἐν Λημνίαις τὸ τακερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ, λέγων οὕτως κτλ. καὶ καλούς] χαπαλούς Meinek. Anal. Ath. 161, sine idonea causa. videtur poeta in prologo, ad quem etiam proxima fragmenta pertinent, Lemniarum mulierum facinus (fr. 358) ad Euripidis imitationem exposuisse.

357

ἐνταῦθα δ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ
Θόας, βραδύτατος ὢν ἐν ἀνθρώποις δραμεῖν.

Ammonius 138 Valck. τύραννον οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔτασσον . . . Ἀριστοφάνης ἐν Λημνίαις κτλ. δ' add. Bergkius. 2. βραδύτατος ὢν idem] βραδύτατος τῶν. βράδιστος Cobetus N. l. 119 'quia haec omnia e tragoedia παρῳδῆσθαι palam est'. diversus hic Thoas a Taurorum rege Eurip. Iph. T. 32. ridet Aristophanes tragicos ex nomine mores hominum explicantes.

358

τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους.

Bekker. Anecd. 423, 32 et Suidas ἀπεχρήσαντο· διεχρήσαντο, ἀπέκτειναν. Λημνίαις Ἀριστοφάνης κτλ. eadem fabulae nomine omisso Etym. m. 124, 26. Pollux 9, 153 Ἀριστοφάνης δὲ 'τοὺς

ἄνδρας ἀπεχρήσαντο', scilicet quos ante Argonautarum adventum habuerant.

359

ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ' ἑστία.

Schol. Acharn. 3 et Suidas. *ψαμμακοσιογάργαρα . . . καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο ὡς ἐν Λίμναις* (Suidas *Λημνίαις* Küster.) *κτλ. γάργαρ'* Bergkius] *γάργαιρ'*. Toupius Emend. III 200 *πᾶσ' ἐγάργαιρ'*, quod reicit Bergkius, quod *nominis γάργαρα* exempla adferantur. at unum *verbi* exemplum etiam apud scholiastam. cum *ἄνδρες ἐπακτοί* (cf. Soph. Ai. 1296) sine dubio sint Argonautae, scribendum videtur *πᾶσα γαργαίρει στέγη*. ridicule M. Schmidtius Hesych. (*ἐπακτούς*) *πᾶσα — σπιλάς*. ceterum cf. Aristomen. 1. Alcae. com. 19. Hesych. *ἐκάρκαιρεν· ἐπλήθυνεν.*

360

ἀλλ' ἀρτίως κατέλιπον αὐτὴν σμωμένην
ἐν τῇ πυέλῳ.

Pollux 7, 166 *εἰκότως δ' ἂν βαλανείῳ προσάγοιτο καὶ τὸ ἐν ταῖς Λημνίαις ὑπ' αὐτοῦ εἰρημένον κτλ.* Hypsipyle indicari videtur.

361

ἕως νεαλής ἐστιν αὐτὴν τὴν ἀκμήν.

Photius *νεαλής· ἐκτείνεται τὸ ἄ. Ἀριστοφάνης Λημνίαις ἕως κτλ. Μένανδρος.* dubium esse potest utrum Aristophanis an Menandri verba sint. sed huius versus videtur excidisse. Bekker. Anecd. 52, 20 *νεαλές . . . Ἀριστοφάνης τὸ νεαλές*, quae ad alium locum pertinere possunt. 'omnia integra et vegeta vocantur *νεαλῆ*.' Lobeck. Phryn. 375 adn., qui iure ridicula veterum de ea voce commenta perstringit. *αὐτὴν*] *αὕτη*?

362

ἦ καρδιώττεις; ἀλλὰ πῶς χρῆσται ποιεῖν;

Suidas *χρή. λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ . . . Ἀριστοφάνης Λημνίαις κτλ. ἦ καρδιώττεις;* Dobraeus] *ἡ καρδία τε τίς; χρῆσται* G. Hermannus (*χρῆσται* vel *χρῄσται*)] *χρῆσθαι*. cf. Pherecr. 103. Phrynich. 34.

363. 364

οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον πρίασθαι,
οὐκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου
ὑπογάστριον.

Athenaeus 7, 311c Ἀριστοφάνης ... Λημνίαις (A Λήμναις)· οὐ κρανίον — πρίασθαι, ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων. idem 7, 302d ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου (θύννου) τὰ ὑπογάστρια ... Ἀριστοφάνης Λημνίαις· οὐκ ἔγχελυν κτλ. et 299b ὁ γοῦν Ἀριστοφάνης ... ἐν Λημνίαις· ἔγχελυν Βοιωτίαν. in unum coniunxit Dobraeus. — κρανίον] κρανεῖον A.

365

τὴν κρατίστην δαίμον' ἧς νῦν θερμός ἐσθ' ὁ βωμός.

Suidas ᾧ νῦν θερμοὶ βωμοί ... Ἀριστοφάνης δὲ ἐν Λημνίαις κτλ. δηλοῖ δὲ ὅτι ἀεί τινες παρὰ Ἀθηναίοις ξένοι θεοὶ ἐτιμῶντο. ᾧ in lemmate Boissonad. Eunap. 562] ὦ. initio καὶ add. Porson. Hecub. praef. XLII. Bekker. Anecd. 29, 33 βωμὸς θερμός· λέγεται μὲν ἐπὶ τῶν θερμῶς εὐδοκιμούντων ἔν τινι, μετείληπται δὲ ἀπὸ τῶν ἱερῶν, ὧν διὰ τὸ θρησκεύεσθαι περιττῶς θερμοί εἰσιν οἱ βωμοί. significatur Bendis, quae fortasse cum ironia dicitur κρατίστη. ac potest τὴν δαίμονα pendere ex verbo omisso; potest tamen etiam poeta scripsisse καὶ μὴ κακίζειν (κακίσῃς τὴν) δαίμον' κτλ.

366

πεντελίθοισί θ' ὁμοῦ λεκάνης παραθραύσμασι

Pollux 9, 126 τὸ πεντελιθίζειν ἐστὶν ἐν τοῖς Ἑρμίππου Θεοῖς· τὸ δὲ ὄνομα πεντέλιθα ἐν ταῖς Ἀριστοφάνους Λημνίαις κτλ. γυναικῶν δὲ μᾶλλόν ἐστιν ἡ παιδιά. Bekkerus πεντάλιθα et πενταλίθοισι, sed melius πεντελ., ut in omnibus illis compositis. cf. Hermipp. 34. in exitu versus addendum παίζειν (παῖσαι Herwerd. Nov. add. crit. 17). est hexameter aut pars tetr. anap.

367

Etymol. m. 283, 45 δορίαλλος· λέγεται καὶ δόριλλος. Ἀριστοφάνης· αἱ γυναῖκες τὸν δορίαλλον φράγνυνται. ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον, ἐφ' ὕβρει τραγῳδιοποιοῦ Δορίλλου. ἢ παρὰ τὸ δείρειν τὸ τυπτόμενον, ἢ τὸ τιλλόμενον τὰς τρίχας καὶ οἱονεὶ ἐκδερόμενον. οὕτω γὰρ πάλαι ἐψίλουν, ὡς δηλοῖ Ἀριστοφάνης (Ran. 516) ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι. Etym. Gud. 150, 49 δορύαλος· τὸ γυναικεῖον αἰδοῖον. Ἀριστοφάνης· αἱ γυναῖκες τὸν δορύαλον φράγονται, παρὰ τὸ δέρειν. Hesychius δορυαλλός· τὸ τῶν γυναικῶν μόριον. ἀπὸ τοῦ δέρειν, ἢ ἐφ' ὕβρει τοῦ τραγῳδιοποιοῦ Δορύλλου, οὗ μέμνηται ἐν Λημνίαις. Schol. Ran. 516 δορίαλος τὸ γυναικεῖον αἰδοῖον, ὡς παρὰ τῷ αὐτῷ ποιητῇ αἱ γυναῖκες τὸν δορίαλον φράγνυνται. cf. Suid. Δόριλλος Herodian. I 158, 27. II 446, 15. 494, 1 Lentz. Dindorfio Δώριλλος Theognosti (Canon.

62, 13) vera videtur forma esse. Fritzschius Quaest. Arist. 88. 9 n. 14 Dorilli vel Dorylli tragici mentionem solam ad Lemnias pertinere, reliqua Aristophani quidem, sed incertae comoediae adiudicanda esse censet. cui adsentirer, si quid usquam de Dorillo constaret. qui cum nusquam alibi commemoretur, nomen *δόριλλος* vel quocumque modo scribendum est de membro muliebri vulgari usu receptum idque in tragicum nescio quem a comicis translatum videtur, ut pro cognomine sit, non pro nomine.

368

μεγάλην θεόν

Ἀριστοφάνης ἐν Λημνίαις· ἴσως τελβαιναιν· Θρᾴκιος γάρ. Photius. Hesychius *μεγάλη θεός· Ἀριστοφάνης ἔφη τὴν Βένδιν. Θρᾳκία γὰρ ἡ θεός.* etiam in Photii ΤΕΛΒΑΙΝΑΙΝ latet *τὴν Βενδῖν.* Thraces igitur Bendin ut Phryges Cybelen *magnam deam* adpellabant.

369

μόχλωσον τὴν θύραν

ἐν Λημνίαις Ἀριστοφάνης. Pollux 10, 25. i. e. *ianuam claude. μόχλευσον* est *vectibus effringe.*

370

ἄρκτοι

Harpocratio *ἀρκτεῦσαι· τὸ καθιερωθῆναι πρὸ γάμων τὰς παρθένους τῇ Ἀρτέμιδι τῇ Μουνιχίᾳ ἢ τῇ Βραυρωνίᾳ. ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται . . . Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ* (645).

371

μέταυλος

ἐστὶν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν. Ἀριστοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι. Harpocratio.

372

ναυφύλαξ

Ἀριστοφάνης ἐν Λημνίαις εἴρηκε. Pollux 7, 139.

373

πρῴμος

ὁ πρὸ ὥρας πεπαινόμενος καρπὸς ἐν Λημνίαις Ἀριστοφάνους. Pollux 7, 152. *πρῷον* est quod ante cetera sui generis, *πρῷμον* quod ante suum tempus maturescit. cf. Vesp. 264. Pac. 1164.

374

συκίδας

τὰ φυτευτήρια τῶν σύκων (*συκῶν*?) *Ἀριστοφάνης ἐν ταῖς Λημνίαις*. Pollux 7, 152. cf. Ach. 996.

375

φανόν

Schol. Lysistr. 308 *φανὸν μὲν πᾶν τὸ φαῖνον ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί*. Photius *πανός· δέσμη κληματίδων. οἱ δὲ νεώτεροι Ἀττικοὶ φανόν. Ἀριστοφάνης*. secum ipse pugnare videtur Photius. in Lysistrata *φανός* sine varietate, ac nomen proprium *Φανός* (*Φᾶνος*) Eq. 1256. Vesp. 1220. contra Menander (63) et Diphilus (6) *πανός*, quamquam aliquotiens etiam recentiores *φανός*. discrimen statuit Athen. 15, 700 b.

ΝΕΦΕΛΑΙ ΠΡΟΤΕΡΑΙ

Praeter Nubium editores cf. Dindorfius Arist. fr. 15 sq. Fritzschius Q. Arist. 117 extr. 141—143 et De fabulis retract. Wilamowitz. Obs. crit. 10 et quos in Nubium praef. c. III commemoravimus.

376

Εὐριπίδῃ δ' ὁ τὰς τραγῳδίας ποιῶν
τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς.

Diogenes L. 2, 18. cf. Teleclid. 39. 40.

377

κείσεσθον ὥσπερ πηνίω βινουμένω.

Photius et Suidas *πηνίον· ζῷον ὅμοιον κώνωπι· Ἀριστοφάνης Νεφέλαις· κείσεσθον κτλ. ἀντὶ τοῦ ξηροί· σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν· ὅτι δὲ κώνωπος εἶδός ἐστι Σπεύσιππος ἐν τῷ β' τῶν ὁμοιοτήτων φησὶν οὕτως· πηνίον· ἐμπίς, κώνωψ. κείσεσθον*] *κείσαισθον* cod. Phot. *πηνίω βινουμένω* Suid.] *πηνίῳ κινούμενοι* cod. Phot. Chaerephontem et Socratem significari existimant. cf. Nub. 104. fidem Photio Suidaeque denegat Dindorfius 18. 19. ad extremam comoediae partem refert Fritzschius Q. Arist. 164. De fab. retr. I 20.

378

δὶς παῖδες οἱ γέροντες

Schol. Plat. 465 Bekk. *μέμνηται δὲ αὐτῆς . . . καὶ Ἀριστο-*

φάνης Νεφέλαις α'. sed facile errare potuit grammaticus, si quidem ea verba leguntur Nub. 1417.

379

ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι φροῦδαι κατὰ τὸν Λυκαβηττόν.

Photius *Πάρνης· τὸ ὄρος θηλυκῶς· ἐς τὴν κτλ. Ἀριστοφάνης Νεφέλαις καὶ ἑξῆς. ἐς τὴν* Porson.] *ἐστὶν. φροῦδαι*] *φροῦδε* cod. Phot. *κατὰ*] *καὶ* Dindf. an *κὰς*? 'quod dicit *καὶ ἑξῆς* haud dubie ad versum fabulae superstitis spectavit 323'. Dindorf. quae Fritzschius Q. Arist. 160. 1 Hermannum secutus de Parnethis Lycabettique situ disputat ridicula erunt eis qui terram Atticam suis oculis viderunt.

380

μηδὲ στέψω κοτυλίσκον.

Athenaeus 11, 479 c *κοτυλίσκος δὲ καλεῖται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος, καὶ οἷς χέονται οἱ μύσται, ὥς Νίκανδρός φησιν ὁ Θυατειρηνός, παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους κτλ. κοτυλίσκους* Fritzschius Q. Arist. 149. 150, quod ultimo mysteriorum die (*Πλημοχόη* adpellabatur) bina pocula aquae vel vini ad ortum solis unum, ad occasum alterum libabantur, conl. Athen. 11, 496 a. Poll. 10, 74. Hesych. *πλημοχόη*. videtur esse altera pars tetrametri anapaestici. cf. Nub. 426 et de particula *μή* Av. 195.

381

οὐ μετὸν αὐτῷ

ἀντὶ τοῦ οὐκ ἐξόν. Ἀριστοφάνης Νεφέλαις. Suidas. in Eccl. 667 exstare monuit Dindorfius. cf. Fritzsch. Q. Arist. 169.

382

Schol. Pac. 347 (*Φορμίωνος*) *μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις.*

383

ζυμ'ασασθαι

Ἀριστοφάνης Νεφέλαις. Bekker. Anecd. 98, 1. Fritzschius *ζημιώσασθαι*, aut *ζυμώσασθαι* (Alexid. Ath. 9, 383 c, v. 8) aut *ζωμεύσασθαι* (Aristoph. fr. 591) scribendum videtur.

384

ἠπίαλος

τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις καὶ Θεσμοφοριά-

ζούσαις. Schol. Vesp. 1038. et ibidem *πέρυσι γὰρ τὰς Νεφέλας ἐδίδαξεν, ἐν αἷς τοὺς περὶ Σωκράτην ἐκωμῴδησεν. ἠπιάλους δὲ αὐτοὺς ὠνόμασεν, ὡς (εἰς) ὠχρότητα παρασκώπτων.* quae et ad Vesparum versum et ad Nubes pertinere possunt.

385

κόλασμα

Ἀριστοφάνης Νεφέλαις. Bekker. Anecd. 105, 2.

386

μετεωρολέσχας

ἐν ταῖς Νεφέλαις (ἔφη) τοὺς φιλοσόφους, ὅτι τὰ οὐράνια περινοοῦσιν. Schol. Pac. 92. cf. Nub. 360.

ΝΗΣΟΙ

Archippo a quibusdam tribuebatur. cf. Mein. I 209, fr. 397 et quae adnotavimus ad *Δὶς ναυαγόν.* in fragmentis nihil est quod Aristophane sit indignum. ad pacem commendandam scriptam esse chorumque insularum fuisse constat. cf. *Πόλεις, Δῆμοι* al. ad Ol. 92 incerta coniectura rettulit Bergkius.

387

ὦ μῶρε, μῶρε, ταῦτα πάντ' ἐν τῇδ' ἔνι·
οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβατίων βληχωμένων
τρυγός τε φωνὴν εἰς λεκάνην ἠθουμένης,
ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια
τριταῖα, πολυτίμητα, βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

Stobaeus Floril. 55, 7 *Ἀριστοφάνους Νήσων.* pro *νήσων* cod. Par. Stobaei optimus *νησσῶν*, ut dubitari possit utrum ad Phoenissas an ad Insulas pertineat. sed Phoenissarum argumento alienum videtur. 2. *ἐν ἀγρῷ τοῦτον*] *ἀργὸν αὐτὸν* Bergkius, *ἐν ἀγρῷ πρῶτον* Meinekius. nihil est quod magis poetae conveniat quam *οἰκεῖν μὲν ἀβροδίαιτον ἐν τῷ γηδίῳ.* cf. Aesch. Pers. 41. Thuc. 1, 6. Athen. 12, 543d. Blomfield. Gloss. Pers. 41. nam *οἰκεῖν ἐν ἀγρῷ ἐν τῷ γηδίῳ* quidem manifesto corrupta sunt. 4. *οἰκεῖον*] *οἰκείοιν?* 5. *προβατίων* Grotius] *προβάτων.* 6. *τρυγός* ABVoss.]

αἰγός. ἠθουμένης Herwerden. Anal. crit. 29] *ὠθουμένης.* 7. *ὄψῳ — σπινιδίοις* Salmas. Exerc. Plin. 445 (316 ed. alt.)] *ὄψων — πηνιδίοις. δὲ* Gaisf.] *τε.* 10. *ἐπ'*] *ὑπ'* Gaisf.

5. cf. Hor. Epod. 2, 11. 12. 6. *ἠθουμένης.* cf. Ran. 943. Epilyc. 6. Plin. N. h. 18, 322, ubi *colari* scribendum est pro *calcari.*

388

Α. τί σὺ λέγεις; εἰσὶν δὲ ποῦ;
Β. αἵδὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

Schol. Av. 296 *εἴσοδος δὲ λέγεται ᾗ ὁ χορὸς εἴσεισιν εἰς τὴν σκηνήν. καὶ ἐν ταῖς Νήσοις κτλ. κατ' αὐτὴν*] *κατὰ ταύτην* V. cf. Nub. 326. viginti quattuor insulas actorem aliquem alteri recensentem fecit ut avium chorum in Avibus, urbium Eupolis in Urbibus.

389

λέξεις ἄρα
ὥσπερ τὰ παιδί', ἔξεχ' ὦ φίλ' ἥλιε.

Suidas *ἔξεχ' ὦ φίλ' ἥλιε· κωλάριόν τι παροιμιῶδες ὑπὸ τῶν παιδίων λεγόμενον, ὅταν ἐπινεφῇ ψύχους ὄντος. Ἀριστοφάνης Νήσοις κτλ.* Eustath. 881, 42. Pollux 9, 123 *ἡ δ' ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπόταν νέφος ἐπιδράμῃ τὸν θεόν.* cf. Strattid. 46. tristem reipublicae statum significari opinatur Bergkius.

390

ἀλλ' οὐ τυγχάνει
ἐπίδημος ὤν.

Etymol. m. 338, 53 *ἔνδημος· ὁ μὴ ἀποδημῶν· ἐπίδημος δὲ ὁ ἐπιδημῶν ξένος· καὶ παρὰ Ἀριστοφάνει ἐν Νήσοις· ἀλλ' οὐ κτλ. λέγεται δὲ περὶ τοῦ Ποσειδῶνος, ὅτι οὐκ ἐπιδημεῖ Ἰσθμοῖ. κυρίως ἐστὶν εἰρημένον. οὐχ οὕτω γὰρ Ἴσθμιος ὁ θεός, ὡς διὰ παντὸς ἐκεῖ διατρίβειν.* Nepturni partes aliquas fuisse sine idonea causa conicit Bergkius.

391. 392. 393

θλαστὰς ποιεῖν ἐλάας.
οὐ ταὐτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα.
θλαστὰς γὰρ εἶναι κρεῖττόν ἐστιν ἁλμάδος.

Athenaeus 2, 56 b *μνημονεύει τῶν θλαστῶν ἐλαιῶν Ἀριστοφάνης· θλαστὰς — ἐλαίας. πάλιν· οὐ — στέμφυλα, καὶ μετ' ὀλίγα· θλαστὰς κτλ.* Pollux 6, 45 *θλαστὰς δὲ ἐλαίας ἐν Νήσοις ἂν εὕροις Ἀριστο-*

φάνους. 1. ἐλάας Dindorfius] ἐλαίας. 3. κρεῖττον idem] κρεῖσσον. ἐστιν ἁλμάδος] ἐστιν ἁλμάδας H. Stephan. Thes. I 374 e (ed. Lond. 189 ἁλμάδος). ἐστ' ἤ γ' ἁλμάδας Bergkius. ubi γέ quid sibi velit nescio. ἥπερ ἁλμάδας Herwerden. Anal. crit. 29. cf. Hermipp. 81. θλασταί sunt olivae 'quae sole torrentur'. Bergk.

394

καταλιπὼν Παναίτιον πίθηκον

Schol. Av. 440 ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις κτλ. ἔνθα καὶ μαγείρου πατρὸς αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. similiter Suidas διαθήκην διαθώμεθα. Παναίτιον] ἀναίτιον Suidae BV. de *Panaetio* cf. Av. 440 cum interpr.

395

ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει.

Photius et Suidas ξυννένοφε· ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. Ἀριστοφάνης Νήσοις κτλ. Eustath. 127, 28 Ἀριστοφάνης νένοφα εἶπε καὶ οὐ νένοιφα. Hesych. συννένοφεν· ἐσκυθρώπακεν. cf. fr. 46. una ex insulis significatur, quae male tractata ab Atheniensibus maesto vultu incedit.

396

Hesychius Θύρσου κυνῆ· Ἀριστοφάνης ἐν Νήσοις (sic Musur., cod. νήσ . .) οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ' ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους. Θύρσου κυνῆ] θυρσουκύνη cod. idem Hesychius Θύρσος· αὐλητὴς ἦν, γυναῖκα ἔχων ἑταίραν. 'Θύρσου κυνῆ ferri nequit. videtur διττογραφία fuisse Θύρσου γυνή . . . et θύρσου γονή, i. e. *germina, folia tenera. Sepiam*, Thyrsi uxorem, restitui Archippo' (fr. 27) 'vid. R. c. Att. 379'. Bergk. quid esse possit θύρσου γονή, ne admonitus quidem perspicio, sed quod melius sit non habeo.

397

ἀργύρια

Pollux 9, 89 ὡς δ' ἐπὶ τῶν κερμάτων οἱ ἀρχαῖοι Ἀττικοὶ ἥκιστα τῷ ἑνικῷ ἐχρῶντο, οὕτως ἐπὶ τῷ ἀργυρίῳ τῷ πληθυντικῷ· τἀργύρια γὰρ ἐπὶ τοῦ ἀργυρίου σπανίως ἄν τις εὕροι παρ' αὐτοῖς· ἐγὼ δ' εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα, ὡς Ἀριστοφάνους οὐ γνήσιον. idem 7, 104 εἴρηται δὲ καὶ ἀργύρια ἐν Ἀριστοφάνους Νήσοις.

398

ἔλυμος

σπέρμα τι ὃ ἑψῶντες οἱ Λάκωνες ἤσθιον. Ἀριστοφάνης Νήσοις. Etym. m. 333, 33. cf. Hesych. *ἔλεμος* et *ἔλυμος*.

399

θρᾶνοι, θρανία, θρανίδια

ἐν Νήσοις Ἀριστοφάνους. Pollux 10, 47. incertum est omnia haec an tertium solum in Insulis invenerit.

Cf. etiam fr. 683.

ΟΛΚΑΔΕΣ

Argum. Pacis Ven. *οὐ τοῦτο δὲ μόνον ὑπὲρ εἰρήνης Ἀριστοφάνης τὸ δρᾶμα τέθεικεν* (*καθεῖκεν* Dindf.) *ἀλλὰ καὶ . . . Ὁλκάδας, καὶ πανταχοῦ τοῦτο ἐσπούδακε, τὸν δὲ Κλέωνα κωμῳδῶν τὸν ἀντιλέγοντα καὶ Λάμαχον τὸν φιλοπόλεμον ἀεὶ διαβάλλων.* quae de hac comoedia Bergkius exposuit p. 1113 sq., ea quamquam eleganter et singulariter disputata videntur Wilamowitzio Obs. crit. 20, admodum dubia nituntur Vesparum parabasis interpretatione et neque cum Argumento Pacis neque cum Holcadum fragmentis congruunt: nam fragmentum quidem 411, utpote ex epirrhemate desumptum, ad comoediae argumentum inlustrandum nihil prorsus confert. lacessitos esse Cleonem et sycophantas, quod frumento ex Euboea advecto et largitione frumentaria facta multos cives peregrinae originis crimine accusassent, concedi potest: summam comoediae eam fuisse nego. scilicet fr. 400 reperto paullo certius de Holcadum argumento licet iudicare. ut plurimae comoediae quibus pax commendabatur, ipsae quoque in duas partes erant divisae. ac primum quidem omnes iniuriae criminationesque et Lacedaemoniorum in Athenienses et Atheniensium in Lacedaemonios navibus onerariis utrimque videntur advectae esse in trutinaque positae et examinatae: quo facto cum adparuisset utrasque pariter fere *graves* et *turpes* esse, pax composita est eis condicionibus, quibus utrique gauderent. deinde in altera fabulae parte Dicaeopolis aliquis vel Trygaeus securitate vitae rusticae recepta domum a Lacedaemoniis in bello eversam restituit et ligna ad eam rem necessaria ex saltu adfert. denique domo aedificata amicos vicinosque ad cenam invitat. de tempore non constat.

400

βαβαί, Λάκων· ὡς ἀμφοτέρων ἡμῶν πρὶν ἦν
τὰ πράγματ' οἰσυπηρὰ καὶ βαρύσταθμα.

Etym. m. 619, 12 *οἰσυπηρὰ ἔρια· τὰ ῥυπαρά· καὶ οἴσυπον λέγουσιν. ἀλλ' Ἀριστοφάνης ἐν Λυσιστράτῃ* (575) *οἰσπώτην εἴρηκεν.*

his (post διαχώρημα) cod. Flor. Milleri (Mélanges 224. 5) addit ἐν δὲ Ὁλκάσι· βαβελάκων κτλ. βαβαί, Λάκων Millerus. ἡμῶν Wilam. Obs. crit. 20] ὑμῶν. πρὶν ἦν Dindf. Poet scen.[5] p. XIV] πρινή. conloquitur Atheniensis cum Lacedaemonio de utrorumque rebus ante pacem compositam sordidis ac molestis.

401

ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα;

Schol. Nub. Ald. 699 τήμερα· καὶ ἐν Ὁλκάσιν κτλ. Schol. Homer. Il. 3, 182 τὰ μέντοι παρὰ τὸ φρὴν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον. ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικὴν ἰὼ Λακεδαῖμον Ἀριστοφάνης Ὁλκάσιν. cf. fr. 296. Herodian. II 40, 12. si etiam in Holcadibus is versus legebatur, non crediderim Πόλεμον loqui. nam tali scaenae qualis est in Pace non videtur locus esse in Holcadibus.

402

ἀλλ' ἱμάντα μοι
δὸς καὶ ζμινύην· ἐγὼ γὰρ εἶμ' ἐπὶ ξύλα.

Eustathius 217, 29 Αἴλιος Διονύσιός φησιν ὅτι . . . καὶ τὴν ζμινύην (λέγουσιν) . . . φέρων καὶ χρῆσιν Ἀριστοφάνους ταύτην κτλ. Pollux 10, 173 φαίης δ' ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι καὶ παττάλους ἐγκρούειν καὶ σκύταλον ὑποσίδηρον καὶ σμινύας (sic Bergk. pro σμινύδας). idem 7, 148 τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ. unde recte omnia ad Holcadas rettulisse videtur Bergkius. loquitur rusticus ille de quo supra dixi. cf. 403.

403

ἐπεὶ δ' ἐγενόμην οἶπερ ᾖ' ἐπὶ ξύλα.

Photius ᾖα· δισυλλάβως, τὸ ἐπορευόμην, σὺν τῷ ι γράφεται . . . Ἀριστοφάνης Ὁλκάσιν κτλ. cf. Suidas ᾖα et Gramm. Coisl. Montefalc. p. 234. οἶπερ ᾖ' ἐπὶ ξύλα Pors.] οἴπερηι (ᾖϊ Suid.) ἐπιξύλα cod. Phot. male Toupius II 85 ξύλα *forum lignarium* interpretabatur; tum enim dicendum erat εἰς τὰ ξ. — '*lignatum ibam*'. Thuc. 4, 13 ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψαν τῶν νεῶν τινας ἐς Ἀσίνην. loquitur rusticus.

404

λόγχαι δ' ἐκαυλίζοντο καὶ ξυστὴ κάμαξ.

Pollux 10, 144 Ἀριστοφάνης ἔφη ἐν Ὁλκάσι κτλ. si usquam λόγχην pro quavis pertica dici meminissem, ad eundem haec lignatorem referrem. sed pertinebant fortasse ad aliam scaenam.

405. 406

πρὸς τί δὲ τὸν ὀρνίθειον οἰκίσκον φέρεις;

Eustathius 1423, 4 ἐκ δὲ τοῦ οἴκου καὶ οἰκίσκος παρὰ Ἀριστοφάνει, περδικοτροφεῖον, οἷον κτλ. Pollux 10, 159 καὶ οἰκίσκον δὲ ὀρνίθειον καὶ οἰκίσκον περδικικὸν Ἀριστοφάνης ἐν Ὁλκάσιν ἔφη. πρὸς τί δὲ K.] τί δέ. τί δαὶ Brunck., τί δὴ Dindf., ποῖ δὴ Bergkius. domum recens aedificatam omnibus quae rustico homini necessaria sunt instruit. ceterum οἰκίσκος ὀρνίθειος et περδικικός (περδίκειος Fritzsch. Q. Arist. 75. 6 qui ad Pelargos haec refert) diversi videntur esse. altera est cavea gallinarum (ὄρνις enim saepissime gallina est). quae cum inutilis sit rustico ruri habitanti, necessaria domicilium mutanti, haec ad transmigrationem ex urbe in praedium videntur pertinere. fortasse καὶ τόν γε περδίκειον; priori versui subiungenda sunt. cf. fr. 441.

407

παῖδες ἀγένειοι, Στράτων

Schol. Acharn. 122 Στράτων· καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης, ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν Ὁλκάσι κτλ. Fritzschius Act. soc. gr. I 143 παῖδες δ' ἀγένειοι, Κλεισθένης τε καὶ Στράτων. Bergkius παῖδες ἀγένειοι, Στράτων | καὶ Κλεισθένης. quidni uno versu mutatione nulla καὶ παῖδες ἀγένειοι, Στράτων καὶ Κλεισθένης? cf. Eq. 1374.

408

πρῴην ἐρανιστὰς ἑστιῶν ἥψησ' ἔτνος.

Photius ἐρανίσας· Δημοσθένης, ἀντὶ τοῦ ἔρανον αἰτήσας. ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων καὶ τὴν φοράν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων. et ἐρανιστάς· ὡς ἡμεῖς καλοῦσιν. Ἀριστοφάνης Ὁλκάσιν κτλ. corrupta apud Zonar. I 862. Cram. Anecd. Paris. IIII 135, 21. Etym. m. cod. Milleri (Mélanges 125). πρῴην] πρῶτον cod. Mill. ἑστιῶν] ἐσθίων cod. Mill. ἑστίων Cram. An. ἥψησ'] ἥψησα cod. Phot., ἔψησα Cram. An. — de *eranis* cf. Ach. 615. Lys. 653. Schoem. Ant. gr.[2] I 375.

409

δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου
τὸν κάτω σπατάγγην.

Athenaeus 3, 91c μνημονεύει δὲ καὶ τῶν σπατάγγων . . . Ἀριστοφάνης ἐν Ὁλκάσιν οὕτως κτλ. ἐχίνων genus esse antea dixerat. δάπτοντα Porson] δαρδάπτοντα. Photius σπατάγγαι· ἰχθύεις τινές·

οἱ δὲ τοὺς μεγάλους ἐχίνους. οὕτως Ἀριστοφάνης. Pollux 6, 47 ἔνιοι δὲ καὶ πάταγγας καλοῦσιν ἐχίνων τι εἶδος (πάταγα A, παττάγας C) Hesych. σπατάγγαι· οἱ μεγάλοι ἐχῖνοι οἱ θαλάσσιοι. et σπαταγγίζειν· ταράσσειν. res obscaena sine dubio significatur. videntur autem haec referenda esse ad carmen melicum ex trimetris iambicis et ithyphallicis compositum. cf. Athen. 6, 253 d sq.

410

ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγει τ' ἀεὶ
ἐκ τοῦ γενείου τὰς πολιάς.

Bekker. Anecd. 474, 31 ἀχῶρα· τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης Ὀλκάσιν κτλ. Photius, Bekker. Anecd. 340, 28, Suidas ἀδαχεῖν τὸ κνήθειν· ἀδαχεῖ — ἀεί. Ἀριστοφάνης ἐν Ὀλκάσιν. Etymol. m. 182, 17 ἀχόρα· ἀρσενικῶς, τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης· ἀδαχεῖ — γενείου. Hesych. ἄχορα· τὰ πίτυρα. Bekker. Anecd. 6, 25 ἀχώρ· οἱ μὲν τὸ ἐν τῇ κεφαλῇ πίτυρον· οἱ δὲ τὰ ἐν αὐτῇ ἑλκύδρια, ἃ καὶ κνησμόν τινα παρέχουσιν. ἀδαχεῖ] ἀδιεχῇ Etym. V. ἀδαχὴ DP. ἄχορ'] ἀχῶρα Bekker. ἀχῶρα (i. e. ἀχῶρα Fritzsch.) cod. Phot. ἀχόρα Etym. V. ἐκλέγει τ' ἀεὶ] ἐκλέγεται Bekker. 475, 1. ἐκλέγετ' ἀεὶ Etym. πολιάς] πολίας Bekker. 475, 1. τοῦ Διός add. Bekker. 475, 1, quae orta esse ex πολιάς censet Bergkius, concedens tamen scribi posse τὰς πολιὰς τὰς τοῦ Διός. Dobraeus Plut. 361 p. 44 τὰς πολιὰς τουδί. de accentu nominis ἄχωρ cf. Herodian. I 49, 1. II 937, 25. Bergkio Cleon aliquis significari videtur Populo Atheniensium blandiens ut Eq. 908. 910. conl. Theophr. Char. 2 ἀπὸ τοῦ ἱματίου ἀφελεῖν κροκύδα, καὶ ἐάν τι πρὸς τὸ τρίχωμα τῆς κεφαλῆς ὑπὸ πνεύματος προσενεχθῇ ἄχυρον, καρφολογῆσαι κτλ. cf. etiam fr. 657. 714. αὐτοῦ Dobraeus ἐν τῇ Πυκνί interpretatur, Populum ipsum autem (τουδί) in scaena adesse censet.

411

ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος
ὥσπερ Εὔαθλος . . . . παρ' ὑμῖν τοῖς νέοις.

Schol. Acharn. 710 et Suidas Εὐάθλους δέκα· οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστοφάνης ἐν Ὀλκάσιν· ἔστι κτλ. ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. Schol. Vesp. 592 Εὔαθλος, οὗ μνημονεύει καὶ . . . ἐν Ὀλκάσιν οὕτως· ἔστι — Εὔαθλος. ὥσπερ Εὔαθλος om. Schol. Ach. Elmsleius τοῖς παλαιοῖς ὥσπερ, Bergkius εὐρύπρωκτος ὥσπερ. loquitur ut videtur chorus: nam desumpta sunt ex epirrhemate, quo sycophantas cum patrono suo Cleone exagitatos esse consentaneum est. de *Euathlo* cf. praeter Aristophanem Cra-

tin. 75. Plat. Theag. 129 a. Bergk. R. c. Att. 97 sq. Mueller. Strub. 334 sq.

412

ἀράκους, πυρούς, πτισάνην, χόνδρον, ζειάς, αἴρας, σεμίδαλιν.

Galenus De aliment. facult. 1, 27 (IIII 316 ed. Basil. VI 541 Kuehn.) *περὶ ἀράκων. τὴν ὑστάτην συλλαβὴν τοῦ τῶν ἀράκων ὀνόματος διὰ τοῦ κ γεγραμμένην εὑρίσκομεν ἐν ταῖς Ἀριστοφάνους Ὁλκάσιν, ἔνθα φησίν κτλ.* Hesych. *ἄρακοι· ὄσπριόν τι. τὸ δὲ αὐτὸ καὶ λάθυροι.* cf. Pherecr. 188 et Schneider. Theophr. III 687. cum fr. 413 haec artissime coniungenda esse et copiam frumenti ex Euboea advecti significari censet Bergkius.

413

καὶ κολλύραν τοῖσι περῶσιν διὰ τοὺν Μαραθῶνι τροπαῖον.

Athenaeus 3, 111 a *τῆς δὲ κολλύρας καλουμένου ἄρτου (μνημονεύει) Ἀριστοφάνης . . . ἐν Ὁλκάσι κτλ.* *τοῖσι* Dindf.] *τοῖς. περῶσιν*] *γέρουσιν* probabiliter Bergkius. *τοὺν — τροπαῖον*] *τοῦ — τροπαίου* Elmsleius Ach. 343, probatum quod satis mirari non possum Meinekio (in ed. Athen.) et Cobeto, qui Mnem. IIII 280 'nemo' inquit 'capiet umquam quid sit *περᾶν διὰ τὸ τροπαῖον*'. aio: sed multo minus quisquam capiet quid sit *περᾶν διὰ τοῦ τροπαίου*. scilicet poeta dicit '*collyram* (*debemus* vel *donamus*) *senibus propter victoriam Marathoniam*. dicitur autem non magis bene *τὸ Μαραθῶνι* quam *τὸ ἐν Μ. τροπαῖον*. Eq. 1334 R *τοὐμμαραθῶνι*, i. e. *τοῦ 'ν Μαραθῶνι*, ac V *τοῦ 'ν Μ.*, Vesp. 711 *τοῦ 'ν Μαραθῶνι* RV. cf. Isocr. 8, 38. Lycurg. 104. Aeschin. 2, 75. 3, 181. 186. Demosth. 13, 22. loquitur chorus navium onerariarum.

414

σκόμβροι, κολίαι, λεβίαι, μύλλοι, σαπέρδαι, θυννίδες

Athenaeus 3, 118 d *μνημονεύει δὲ τῶν μύλλων καὶ Ἀριστοφάνης ἐν Ὁλκάσι κτλ.* *λεβίαι* Dindorfius] *λέβιοι*. Pollux 6, 48 *θύννοι, κολίαι, σαπέρδαι, λεβίαι, μύλλοι* sine dubio, quamquam auctorem non nominat, ex hoc ipso versu. in exitu versus suppleo *ἄρκτοι*. cf. Mnesimach. 4, 45. Archestr. Athen. 3, 92 d (W. Ribbeck. 50, 2). Aristot. H. a. 5, 17. Meinek. III 574. *κολίας* est *scomber scombrus* Cuvieri (Ind. Aristot.). cf. Schneider. Aristot. H. a. 8, 15, 2. etiam piscium magnum numerum sua opera Athenas advehi gloriantur naves.

415

σπυρὶς οὐ μικρὰ καὶ κωρυκίς, ἣ καὶ τοὺς μάττοντας ἐγείρει.

Eustathius 1534, 47 *κώρυκον δὲ τὸν θύλακον λέγει . . . οἱ δὲ παλαιοὶ καὶ κωρυκίδα τὸ τοιοῦτον σκεῦος καλοῦσι, παράγοντες καὶ Ἀριστοφάνους χρῆσιν ταύτην κτλ.* Pollux 10, 172 *τὴν πήραν εἴποις ἂν . . . καὶ κωρυκίδα, ὡς ἐν ταῖς Ὁλκάσιν Ἀριστοφάνους.* de exitu versus cf. Eupol. 36 cum eis quae adnotavi. *καὶ*] *πρῴ*?

416

ὦ κακοδαίμων, ὅστις ἐν ἅλμῃ πρῶτον τριχίδων ἀπεβάφθη.

Athenaeus 7, 329 b *Ἀριστοφάνης δ' ἐκ Ὁλκάσιν κτλ. τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς ἅλμην ἀπέβαπτον, ἣν καὶ Θασίαν ἐκάλουν ἅλμην, ὡς καὶ ἐν Σφηξὶν ὁ αὐτός φησι ποιητής· καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών.* cf. fr. 900. *κακοδαίμων* Brunck.] *κακόδαιμον.* '*o quam miser est qui*' cet. *πρῶτον*] *πρῶτος*] Toeppel. Progr. Neobrand. 1857, 12. *ἐβάφθην* alibi exstare apud Atticos non memini. de trichidibus cf. Eupol. 154.

417

σκαφίδας, μάκτρας, Μοσσυνικὰ μαζονομεῖα.

Photius *σκαφίδας· οὐ σκάφας, τὰ σκεύη κτλ. Ἀριστοφάνης* Pollux 10, 102 *καὶ σκαφίδα δὲ τὴν σκάφην ταύτην ἐν ταῖς Ὁλκάσι λέγει συντάξας οὕτω σκαφίδας, μάκτρας.* idem 10, 84 *τὰ μαζονομεῖα Ἀριστοφάνους εἰπόντος ἐν Ὁλκάσι.* Phot. *μάκτρα· λίθινον ἢ κεραμεοῦν σκεῦος· ἔστι δὲ καὶ ξύλινον, ἐν ᾧ τὰς μάζας ἀναδεύουσιν. οὕτως Ἀριστοφάνης.* cf. Ran. 1159. — *μάκτρας* Poll.] *μίξας* Phot. *μαζονομεῖα*] *μαζονόμια* cod. Phot. Hesych. *Μοσυνοίκια μαζονόμια· Ποντικὰ ὁ Δίδυμος ἤκουεν* (*intellegebat*). *οἱ γὰρ Μοσσύνοικοι ἐν Πόντῳ εἰσίν* (noti ex Xenophontis Anabasi). *λέγει δὲ τοὺς ξυλίνους πίνακας.* Steph. Byz. *Μοσσύνοικοι ἔθνος . . . τὸ κτητικὸν Μοσσυνοικικός.* unde scriberem *Μοσυνοικικὰ μαζονομεῖα*, nisi *υ* nominis eius semper produceretur. cf. Lobeck. Paralip. 138. praeterea cf. Hesych. *μόσσυνες· ἐπάλξεις. καὶ ἔθνος Σκυθικόν.* idem *Μοσσυν[ο]ικοί· ξύλινοι πίνακες μεγάλοι, ὥστε ἐν αὐτοῖς καὶ ἄλφιτα μάσσειν.* fr. 423 cum hoc Dindorfius ita coniungit *ὕρχας οἴνου, σκαφίδας κτλ.* haec quoque omnia sua opera Athenas advehi chorus gloriatur.

418

ἀγκαλίδες ξύλων

τὸ πλῆθος δηλοῦται, ὅσον ἄν τις ἀγκάλαις περιλάβοι. Bekker. Anecd. 13, 10. ad Aristophanem et ad Holcades pertinere Bergkius docuit conl. Poll. 10, 173 *φαίης δ' ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι . . . καὶ ἀγκαλίδας.* cf. fr. 402. 403.

419

ἁλμαίαν πιών

Ἀριστοφάνης Ὁλκάσιν. Bekker. Anecd. 82, 23. ibid. 22, 28 *ἁλμαίαν, τὴν ἅλμην ὡς Ἀθηνᾶ Ἀθηναία, πύλη πυλαία, ὥρα ὡραία.*

420

δρομάδες ὁλκάδες

ὡς Ἀριστοφάνης. Pollux 1, 83. ad *Holcades* pertinere adparet. *δρομάς* Aeschylo in superstitibus fabulis nusquam usitatum, Sophocli semel Philoctet. 680, Euripidi in deliciis fuit. Hippol. 549. Suppl. 1000. Troad. 42. Helen. 1301. Orest. 317. 837. 1416. Phoen. 1125 (trim.). Bacch. 731 (trim.).

421

παττάλους ἐγκρούειν

φαίης ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι. Pollux 10, 173. *ἐγκρ.* Bergk.] *ἐκκρ.*

422

σκυτάλιον ὑποσίδηρον

φαίης ἂν κατ' Ἀρ. λ. ἐν Ὁλκ. Pollux 10, 173. *σκυτάλιον* Bergk.] *σκύταλον.* cum fr. 421 ad domus aedificationem videtur pertinere.

423

ὕρχας οἴνου

εἴρηκεν Ἀριστοφάνης ἐν Ὁλκάσιν. Pollux 10, 73. cf. 6, 14 *Ἀριστοφάνης ὠνόμασεν ὕρχας οἴνου. δηλοῖ ἡ λέξις τῷ βίκῳ προσεοικὸς κεράμιον, ἔστι δὲ Αἰολικὸν τοὔνομα.* '*ὕρχα*, orca, urceus. asperum quidem habet Arist. Vesp. 676 et fr. Holc., sed vereor ne a librariis additum.' Lobeck. Paralip. 34. atque *ὕρχας* H. Iacobi V 66.

424

ἀπεσφακέλισεν

ἐσάπη. Ἀριστοφάνης Ὁλκάσιν. οἱ δὲ ἰατροὶ τὴν ἐκ σήψεως μελανίαν. ἢ ἀντὶ τοῦ προσεσπάσθη. ἢ αἰφνιδίως ἀπέθανεν. Hesych. Bekker. Anecd. 422, 25 et Suidas *ἀπεσφακέλισεν· . . . τὸ ἐξαίφνης ἀπέθανεν. ὁ δὲ Ἀριστοφάνης καὶ ἀντὶ τοῦ ἀπεσπάσθη.* Zonar. I 270 *ἀπεσφακέλισεν· . . . ὁ δὲ Ἀριστοφάνης ἀντὶ τοῦ ὤκλασεν.* Cram. Anecd. Par. IIII 179, 27 *Ἀριστοφάνης τὴν ὄκλασιν* et sine Aristophanis mentione Etym. m. 120, 13. cf. Ruhnken. Tim. 123. fortasse coniungendum cum 419 *ἀπεσφακέλισεν ἁλμαίαν πιών.*

425

δραχμιαῖον

τὸ δραχμῆς ἄξιον, ὡς ἐν Ἀριστοφάνους Ὁλκάσιν. Pollux 9, 60.

426

ἐπίγυον

τὰ πρυμνήσια ἐπίγεια ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. Ἀριστοφάνης Ὁλκάσι. Harpocration. *ἐπίγυον* A, *ἀπόγυιον* N. cf. fr. 80.

427

νάνους

Gellius 19, 13 *νάνους Graeci vocaverunt brevi atque humili corpore homines, paullum supra terram exstantes ... et, si memoria, inquit* (Apollinaris), *mihi non labat, scriptum hoc est in comoedia Aristophanis, cui nomen est ἀκαλές.* Ὁλκάδες probabiliter Hertzius, *Κώκαλος* Brunckius.

428

τροχιλία

ἐστὶν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι' οὗ ἱμῶσι. δεδήλωται δὲ περὶ τούτου καὶ ἐν Ὁλκάσι. Schol. Lysistr. 722.

429

Φασιανός

Stephanus Byz. *Φᾶσις· πόλις τῆς Αἴας ... τὸ ἐθνικὸν Φασιάτης καὶ Φασιατικὸς καὶ Φ α σ ι α ν ό ς, ὡς Ἀριστοφάνης ἐν Ὁλκάσι.* sycophanta significari videtur. cf. Ach. 726.

Ad Holcades praeterea fr. 636 refert Bergkius.

ΠΕΛΑΡΓΟΙ

Pelasgos Tyrrhenos interpretatur Fritzschius Q. Arist. 25 sq., probabilius ciconias cum Suevernio (De Arist. Av. 83 n. 2) Bergkius. cf. Av. 1354 sq. Photius 245, 7 *οἱ πελαργοὶ δίχα τοῦ νόμου τὸ δίκαιον ἔχουσιν.* 407, 8 *πελαργικοὶ νόμοι· ἀντεκτρέφειν τοὺς γονεῖς. οὕτως Ἀριστοφάνης.* Fab. Aes. 76 (Cor. p. 359, attulit Bergk.) *πελαργός εἰμι, εὐσεβέστατον ζῷον, ὅστις μητέρι καὶ πατέρι δουλεύω* (sunt choliambi politici). quae cum ita sint, nescio cur Fritzschius neget componi potuisse comoediam, in qua filius ingratus et nequam ad pietatem erga parentes reduceretur. nec de cantibus ciconiarum post Magnetis *Ψῆνας* (et Aristophanis Ranas) dubitari potest. ceterum neque de argumento neque de tempore

constat, quamquam ex fr. 438 eodem cum Meleti Oedipodea anno actam esse cognoscimus.

430

ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην,
ὁ δ' αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.

Schol. Vesp. 1239 ἐν Πελαργοῖς. μέλος] μέρος V. Zenob. 1, 18 Ἀδμήτου μέλος· τὸ εἰς Ἄδμητον μέλος ᾀδόμενον [πένθιμον]. est autem scolium Ἀδμήτου λόγον, ὦ 'ταῖρε, μαθὼν τοὺς ἀγαθοὺς φίλει, τῶν δειλῶν δ' ἀπέχου, γνοὺς ὅτι δειλοῖς ὀλίγα χάρις. Harmodii autem notissimum illud ἐν μύρτου κλαδὶ Bergk. PL. scol. 9. 21. Fritzsch. Q. Arist. 48—53. Admeti scolium erat Praxillae, Harmodii a Callistrato inventum. canebat in convivio nescio quis Admeti scolium, sed ab altero cogebatur Harmodii carmen canere. Nub. 1356. 1364. Cratin. 236. Eupol. 361.

431

Schol. Plut. 84 Ven. τὸν Πατροκλέα κωμῳδεῖ ὡς Ἀθηναῖον μὲν καὶ πλούσιον, σκνιπὸν δὲ καὶ φειδωλόν. ἦν δὲ τραγῳδίας ποιητής, ἄλλως δὲ καὶ κακόβιος καὶ φιλοχρήματος, ὡς καὶ ἐν Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου. in Rav. εἷς ἦν τῶν τὸν Λακωνικὸν βίον ζηλούντων, Ἀθηναῖος πλούσιος μὲν σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιφὸς κωμῳδεῖται, ὡς ἐν τοῖς Πελαργοῖς. similia Suidas Πατροκλῆς. Fritzschius Q. Arist. 81 ὅστις ἕνεκεν φειδωλίας ἂν οὐδέν' οἱ | εἴα προσικέσθαι καὶ φυλακῆς τῶν χρημάτων | γλίσχρου βίου τε. facilius meo iudicio ὅστις ἕνεκα τῆς φειδωλίας | οὐδένα προσίει καὶ φυλ. κτλ. *Patroclem* eundem esse suspicatur Bergkius, quem Stephanus Byz. commemoret Ἀτήνη· δῆμος τῆς Ἀντιοχίδος φυλῆς . . . ὁ δημότης Ἀτηνεύς. Πατροκλῆς Ἀτηνεὺς ἐχορήγει καὶ Παντακλῆς. sed nimis incerta apud Stephanum lectio, siquidem Πατροκλῆς solus A, Προκλῆς PpRV. extrema Meinekius sic redintegrabat ἐχορήγει. [Ἀντιοχὶς ἐνί]κα. Πατροκλῆς [ἐδίδασκεν]. choragicus est titulus.

432

ἀπεσημηνάμην
τὰς τῶν κακούργων οἰκίας.

Herodianus Piers. 462 σημεῖον λέγοντες σημειοῦσθαι οὐ λέγομεν, ἀλλ' ἀποσημαίνεσθαι, ὡς Ἀριστοφάνης ἐν Πελαργοῖς κτλ. Thomas Mag. 337 Ritschl. ἀποσημαίνεσθαι similiter dictum esse videtur ac παρασημαίνεσθαι Demosth. 42, 2 ἀντὶ τοῦ τὰ σημεῖα ἐὰν τῶν οἰκημάτων ἃ παρεσημηνάμην . . . ἀνέῳξε. cf. 42, 6. 8. 26. Fritzsch. Q. Arist. 56.

433

ἀτταγᾶς ἥδιστον ἕψειν ἐν ἐπινικίοις κρέας.

Athenaeus 9, 387 f *Ἀριστοφάνης Πελαργοῖς. ἀττάγας ἑψεῖν* A. *τοῖς ἐπινικίοις*, non *ἐν ἐπινικίοις* Plato Symp. 174 a, ut *τοῖς Παναθηναίοις* cet. attamen C. I. 2374 e in eodem titulo et *τοῖς Θεοξενίοις* et *ἐν τοῖς Θεοξενίοις*, et *ἐν Θεοξενίοις* probabiliter restitui Polyzel. 1. ad victoriam scaenicam recte rettulit Suevern. De Arist. Senect. 21 adn.

434

κεφαλάς τ' ἀρνῶν κωλᾶς τ' ἐρίφων

Athenaeus 9, 368 e *Ἀριστοφάνης . . . ἐν Πελαργοῖς. τ'* add. Bergkius. anapaesticus est dim. aut pars tetram.

435

βαλανεὺς δ' ὠθεῖ ταῖς ἀρυταίναις.

Pollux 10, 63 *ἀρύταινα . . . Ἀριστοφάνους εἰπόντος κτλ.* Moeris 192, 13 *βαλανεὺς παρὰ Πλάτωνι καὶ Ἀριστοφάνει Πελαργοῖς.* cum *βαλανεύς* haud rarum sit vocabulum (Eq. 1403. Av. 491. Ran. 710. Plut. 955. cf. Fritzsch. Q. Arist. 65), nequaquam certum est ad Pelargos totum versum pertinere. Bekker. Anecd. 20, 22 *ἀρύταινα· σκεῦός τι, ᾧ οἱ βαλανεῖς χρῶνται πρὸς τὸ παρέχειν* (recte Fritzsch. *παραχεῖν*), *ἀπὸ τοῦ ἀρύεσθαι, ὅ ἐστιν ἀπαντλεῖν.* cf. Eq. 1091.

436

χαλκώματα, προσκεφάλαια.

Pollux 10, 174 *χαλκώματα ἐν μέρει τῶν σκευῶν . . . εἰπόντος Ἀριστοφάνους ἐν Πελαργοῖς κτλ.* idem 7, 105 *χαλκώματα δ' Ἀριστοφάνης ἐν Πελαργοῖς καὶ Σφηξὶν* (1214) *εἴρηκεν.* versus est paroemiacus aut exitus tetrametri.

437

ἢν γὰρ ἕν' ἄνδρ' ἄδικον σὺ διώκῃς, ἀντιμαρτυροῦσι
δώδεκα τοῖς ἑτέροις ἐπισίτιοι.

Athenaeus 6, 247 a *ἐπισίτιοι καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες . . . Ἀριστοφάνης Πελαργοῖς κτλ. σὺ διώκῃς* Porson.] *συνδιώκῃς* PVL. *ἐπισίτιοι*] *ἐπίσιτοι* Dindorf. metrum est Horat. Carm. 1, 4. *τοῖς ἑτέροις* Herwerdenus Mnem. nov. VI 61 sic interpretatur: 'si unum inprobum persequeris, tibi contrarium testimonium ferunt duodecim pretio corrupti *a reliquis inprobis*, qui suam rem agi intellegunt'. recte, nisi quod non pretio corrupti, sed victus gratia id facere dicuntur. pendet autem *τοῖς ἑτέροις* (*κακοῖς*) ab *ἐπίσιτοι.*

438

Schol. Plat. 330 Bekk. *Μέλητος δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾷξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς, Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο καὶ ὁ Μέλητος Οἰδιπόδειαν καθῆκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις.* cf. fr. 114. 150. Laii filius Meletus dicitur propter insanos puerorum amores, quorum quasi inventor Laius habebatur (Meinek. Q. scen. II 18. Fritzsch. Q. Arist. 45); Thrax autem quia comici peregrinam ei originem exprobrabant. erat ex pago Pitthensium (Plat. Euthyphr. 2b), qui in admittendis ad civitatem peregrinis facillimi esse dicebantur. cum in ultimis demum Aristophanis fabulis commemoretur et a Platone adulescens dicatur, Pelargi inter postremas poetae comoedias referendi sunt.

439

Schol. Plut. 665 *εἴρηται δὲ καὶ ἐν Πελαργοῖς περὶ αὐτοῦ* (*Νεοκλείδου*) *ὅτι ῥήτωρ καὶ συκοφάντης ἐστίν.* Suidas proverbium commemorat *Νεοκλείδου κλεπτίστερος*, quod Hemsterhusius ex Pelargis excerptum esse arbitratur. cf. Eccl. 254. fortasse scripsit *καὶ τίς Νεοκλείδου τοῦ τυφλοῦ κλεπτίστερος;*

440

ὀβολίας ἄρτους

τοὺς ὀβολοῦ πωλουμένους. Ἀριστοφάνης Πελαργοῖς. Bekker. Anecd. 111, 7. cf. Pherecr. 55. Aristoph. fr. 103. scribendum videtur *ὀβολιαίους ἄρτους*. nam prorsus diversi sunt *ἄρτοι ὀβελίαι*, i. e. *ἐπ' ὀβελῶν ὀπτώμενοι* et *ὀβολιαῖοι*, qui obolo venibant.

441

οἰκίσκον

ἐκάλουν οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον. Ἀριστοφάνης Πελαργοῖς. Harpocration. Photius *οἰκίσκος· περδικοτροφεῖον* (cod. *παιδικοτρ.*) *Ἀριστοφάνης Πελαργοῖς.* cf. fr. 405.

Ad Pelargos praeterea. Fritzschius Q. Arist. 81 refert fr. 669.

ΠΛΟΥΤΟΣ ΠΡΟΤΕΡΟΣ

Argument Plut. II *ἐδιδάχθη* (*Πλ. δεύτερος*) *ἐπὶ ἄρχοντος Ἀντιπάτρου*, i. e. Ol. 97, 4. iam cum prior Plutus acta sit vicesimo anno ante (Schol. Plut. 173 *Πλοῦτος β' ἐδιδάχθη ὑπ' αὐτοῦ εἰκοστῷ ἔτει ὕστερον*), adparet referendam esse ad archontem Dioclem, Ol. 92, 4. prorsus diversam fuisse a posteriore vel temporum ratio docet. cf. Fr. Ritter De dupl. Plut. ed. Bonn. 1828. Iahn. Ann. XI 303 sq. C. F. Hermann. Opusc. (1849) p. 39 sq.

442

τῶν λαμπαδηφόρων τε πλεί-
στων αἰτίαν
τοῖς ὑστάτοις πλατειῶν.

Schol. Ran. 1093 οἱ Κεραμῆς· οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἐγίνετο. καὶ ἐν Πλούτῳ πρώτῳ κτλ. πλείστων] πλεῖστον Θ. πλατεῖαι sunt *verbera palma inflicta*. cf. Ran. 1096. Pherecr. 224. desumpta sunt ex systematis iambici clausula. Chremylum paupertatis mala exponere Ritterus censet p. 53.

443

βλᾶκες φύγεργοι

Bekker. Anecd. 84, 4 βλάξ, βλακεύειν, βλακεύεσθαι, καὶ βλάκες καὶ βλακικῶς· Πλάτων Γοργίᾳ, ὁ αὐτὸς Εὐθυδήμῳ, Ἀριστοφάνης Πλούτῳ. Etymol. m. 198, 57 βλάξ, ὁ εὐήθης καὶ ἀργὸς καὶ ἀνόητος. Ἀριστοφάνης βλάκες φυγεργοί. Zonaras I 390 βλάκες φιλεργοί. πυγαργοί Hemsterhus. an φίλαργοι, oppositum φιλέργοις?

444

ἦν δ' ἐγώ

ἔφην δὲ ἐγώ. παρὰ Πλουτάρχῳ καὶ Ἀριστοφάνει. Bekker. Anecd. 1380 ἔχομεν τὴν χρῆσιν τοῦ ἦν ἐγὼ παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ . . . καὶ παρὰ Μενάνδρῳ ἐν τῷ Γεωργῷ· ἦν δ' οὐ πονηρὸς οὐδ' ἐδόκουν. cf. Etymol. m. 431, 15. apud Suidam Πλάτωνι pro Πλουτάρχῳ Ruhnkenius apud Wyttenb. Plut. prol. XXXVII (LXII). sed Πλούτου V. Ἀριστοφάνης πλούτῳ Oxon. apud Dobr. Addend. Arist. 97. apud Menandrum Choerobosci (Bekk. An.) ἦν ab εἰμί derivandum est. cf. quae adnotavimus ad Av. 97. id quo minus in Pelargis quoque fieri debere putemus obstat Suidae testimonium. itaque quoniam ἦν δ' ἐγώ pro ἔφην δ' ἐγώ in altero Pluto non invenitur, ad priorem referendum erat.

445

ἀναπηρίαν

Bekker. Anecd. 78, 11 ἀναπειρίαν Ἀριστοφάνης Πλούτῳ. recte Suidas ἀναπηρίαν· οὕτως Ἀριστοφάνης Πλούτῳ. Bekker. Anecd. 9, 22 ἀναπηρία. διὰ τοῦ η̄ τὴν τρίτην, οὐ διὰ τῆς ει̅ διφθόγγου, ὡς οἱ ἀμαθεῖς. τὸ μὲν οὖν ἀνάπηρος καθωμίληται. τὸ δὲ ἀναπηρία σπάνιον. cf. Dobr. Plut. 115 et in Addend. 99.

446

γραΐζειν

ὅταν τὸ συναγόμενον ἐν ταῖς χύτραις καὶ ἐπαφρίζον ἐκχέωσιν.

Ἀριστοφάνης Πλούτῳ. Bekker. Anecd. 88, 7. fuit igitur in priore quoque Pluto locus similis Plut. 1206. 7.

447

ἐμπαίζειν

ἐπὶ τοῦ καταγελᾶν. Ἀριστοφάνης Πλούτῳ. Bekker. Anecd. 95, 29. Soph. Ant. 800.

448

ἐπικρούσασθαι

Pollux 9, 139 *Ἀριστοφάνης δ' ἐν Πλούτῳ καὶ τῷ ἐπικρ. ἐπὶ τοῦ νουθετῆσαι κέχρηται.*

449

ζυγοποιεῖν

ὡς ἐν Πλούτῳ Ἀριστοφάνης. Pollux 7, 115. Aristophanem falso pro Pherecrate (130, 1) nominari Dobraeus opinabatur Plut. 115, alii ad Plut. 513 referebant. neutrum recte mea sententia, cum praesertim, si Dobraeum sequamur, Pollux non solum Aristophanem cum Pherecrate, sed etiam Plutum cum Persis et *ζυγοποιεῖν* cum *ζυγοποιῶν* (a *ζυγοποιός*) confudisse censendus sit.

450

ῥυφῆσαι

διὰ τοῦ υ Ἀριστοφάνης Πλούτῳ. Bekker. Anecd. 113, 11. *ῥοφῆσαι* Eq. 912. *ῥυφεῖν* cum sit forma Ionica, Ionem aliquem poeta loquentem induxit.

ΠΟΙΗΣΙΣ

Archippo a quibusdam tribuebatur. cf. quae adnotavimus ad *Δὶς ναυαγόν*. erat etiam Antiphanis comoedia *Ποίησις*.

451

γυναῖκα δὴ ζητοῦντες ἐνθάδ' ἥκομεν,
ἥν φασιν εἶναι παρὰ σέ.

Priscianus 18, 264 *Attici παρὰ σὲ pro παρὰ σοί, quomodo et nos apud te. Aristophanes Ποιήσει κτλ.* *δὴ* M.| *δὲ* O. '*δ' ἐξαιτοῦντες* Bergk. (M. Schmidt. Act. ant. Marb. 1856, 535).' Hertz. '*ἐνθάδ' ἥκομεν* | *ἥν φασιν* ex vestigiis cod. Monac. M. Hauptius in scheda ms. in apparatu Lindemanniano servata' (Hertz)] ΕΝΘΑΔΕ ΕΙΚΟΜΗΝ. ΗΝΘΑCΙΝ VR. (ΕΝΕΑΔΕ) ΕΝΕΑΔΕ (teste Heinio) ΙΚΟΜΝΝΗΝΕΑCΙΝ M. videtur nescio quis Poesin ex hominum conspectu ablatam quaerere.

ΠΟΛΥΙΔΟΣ

Herodian. II 572, 12 *Πολύιδος . . . διὰ τοῦ ι γράφεται . . . οὕτω δὲ καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει. μαρτυρεῖ δὲ Φιλόξενος.* nempe grammatici saepe *Πολύειδος*, ab *εἰδέναι* nomen deducentes. apud Sophoclem *ι* ab Homero productum corripitur. fr. 357. 8 N. *Polyidus vates* ab Homero commemoratur Il. 13, 663. 666. fabulam tractaverant Aeschylus ut videtur Cressis, Sophocles *Μάντεσιν*, Euripides Polyido. Glaucus Minois ex Pasiphae filius cum pila ludens in dolium mellis plenum lapsus occidisset, Polyidi opera parentibus redditus esse dicebatur. Hygin. Fab. 136. Apostol. 5, 48. eam fabulam in vatum ignominiam non sine Euripidis inrisione Aristophanem deflexisse credibile est. Pollucem 3, 43 et 10, 45 erravisse Meinekius et Bekkerus intellexerunt. unam ex posterioribus poetae fabulis esse utpote recentiori comoediae iam propiorem Bergkius et Cobetus (Obs. crit. 53) censent.

452

τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς·
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

Stobaeus Floril. 118 (117), 16 *Ἀριστοφάνους Πολυΐδου.* versus prior propter anapaestum tragici esse non potest; alter legitur Soph. El. 1173, sed Polyido Euripideo tribuitur a Bergkio Annal. Zimmerm. 1835, 962 et Dindorfio. cf. Welcker. Trag. gr. II 776. apud Aristophanem quis haec dicat non constat.

453

ἰδοὺ δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι
Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥκειν ἄγων.

Stobaeus Floril. 68, 17 *Ἀριστοφάνης ἐν Πολυΐδῳ. ἥκειν* Herwerd. Mnem. nov. VI 61] *ἥξειν.* loqui videtur Minos cupiditati eius quem maritum filiae elegit amorem quo Phaedra uritur addens '*venisse mihi videor* cet.'. Polyido autem an alteri cuidam (Hippolytum esse Bergkius conicit) filiam despondeat incertum est. de proverbio cf. Cratin. 18. Eurip. Hippol. I fr. 432 N. Ovid. Am. 3, 2, 34 *in flammam flammas, in mare fundis aquas.* Flor. 4, 6 *cum solus gravis . . reipublicae esset Antonius, quasi ignis incendio Lepidus accessit* (Boissonadius ind.).

454

διὰ τῆς ἀγορᾶς τρέχων, ἀναρίστητος ὤν.

Suidas *ἀνάριστος· μᾶλλον δὲ ἀναρίστητος, Ἀριστοφάνης Πολυείδῳ κτλ. τρέχων* E] *τρέχω.* Porson.: *τρέχω διὰ τ. ἀγ.* fortasse *δ. τ. ἀγ. ἔτρεχον.*

455

ἐλλιμενίζεις ἢ δεκατεύεις.

Pollux 9, 31 *ὡς Ἀριστοφάνης ἐν Πολυείδῳ.* Hesych. *δεκατεύειν· τελωνεῖν, δεκάτην εἰσπράττεσθαι.* cf. Eupol. 48.

456

ἔρημον ἐμβλέπειν

ἀκίνητον καὶ νωθρόν· οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. Ἀριστοφάνης Πολυΐδῳ Photius, Suidas, Etymolog. m. 373, 19 et Apostol. 7, 92 (Suidas et Etymol. *Πολυείδῳ*). Eurip. Ion. 1263 *δράκοντ' ἀναβλέποντα φοινίαν φλόγα.* Plat. Charmid. 155d *ἐνέβλεψέ μοι τοῖς ὀφθαλμοῖς ἀμήχανόν τι οἷον.*

457

οὐκ ἀπήρκει

ἀντὶ τοῦ οὐκ ἀπέχρη. Ἀριστοφάνης Πολυΐδῳ. Moeris 205, 19.

458

Θησειότριψ

ὁ ἐν τῷ Θησείῳ διατρίψας. Ἀριστοφάνης Πολυΐδῳ. Etymol. m. 451, 52 et Suidas. *Θησείῳ*] *Θησέως* Etym. D et Suidae optimus. servus significatur *πολλάκις ἐν τῷ Θησειῳ πρᾶσιν αἰτήσας.* Eq. 1312. fr. 567.

459

θησομύζειν

ἐν τῷ αὐτῷ (*Πολυΐδῳ*) *λέγεται.* Etym. m. 451, 52. Gud. 85. Nauck. Philol. VI 414. *θησειομύζειν* anon. ap. Gaisford. significatur servus in Theseo miseram sortem plorans. Eq. 10.

460

προσεμφερής

Ἀριστοφάνης ἐν Πολυείδῳ εἶπε. Pollux 9, 130. Eurip. fr. 385, 13N. Herodot. 4, 2 (*προσεμφερεστάτους*). cf. Archipp. 45.

ΠΡΟΑΓΩΝ

Herodian. I 24, 1 *προάγων.* II 729, 7 *προάγων προάγωνος.* cf. Lobeck. Paralip. 201. Argument. Vesp. *ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου* (Ol. 89, 2) . . . *εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προάγωνι, Λεύκων Πρέσβεσι τρίτος.* unde quod cum Dindorfio plerique conlegerunt, quoniam binas fabulas in certamen committere

non licuisset, Philonidis nomine Proagonem Aristophaneam actam esse, id nuper E. Hillerus (Herm. VII 404) inpugnavit Philonidem suam fabulam docuisse statuens. qua in re consentio cum Wilamowitzio Anal. Eurip. 153.

Προάγων quid sit docent Aeschin. 3, 67 *ὅτ' ἦν Ἀσκληπιῷ ἡ θυσία καὶ ὁ προάγων*, ubi scholiasta *ἐγίγνοντο πρὸ τῶν μεγάλων Διονυσίων . . . ἐν τῷ ᾠδείῳ καλουμένῳ τῶν τραγῳδῶν ἀγὼν καὶ ἐπίδειξις ὧν μέλλουσι δραμάτων ἀγωνίζεσθαι ἐν τῷ θεάτρῳ . . . εἰσίασι δὲ δίχα προσώπων οἱ ὑποκριταὶ γυμνοί.* Vit. Eurip. cod. Paris., indic. a Bergkio *λέγουσι δὲ καὶ Σοφοκλέα ἀκούσαντα ὅτι ἐτελεύτησεν (Εὐριπίδης), αὐτὸν μὲν (ἐν) ἱματίῳ φαιῷ προελθεῖν, τὸν δὲ χορὸν καὶ τοὺς ὑποκριτὰς ἀστεφανώτους εἰσαγαγεῖν ἐν τῷ προάγωνι.* videtur igitur Aristophanes prolusionem quandam spectaculi tragici spectatoribus repraesentavisse et inprimis Euripidem traduxisse. Schol. Ven. Vesp. 61 *εἴσῆκται οὕτως Εὐριπίδης . . καὶ ἐν τῷ Προάγωνι.* atque Euripidis potissimum personam Philonides suscipere solebat. Dindf. Fr. Arist. p. 69.

461

ἐγευσάμην χορδῆς ὁ δύστηνος τέκνων·
πῶς ἐσίδω ῥύγχος περικεκαυμένον;

Athenaeus 3, 95d *Ἀριστοφάνης Προάγωνι κτλ. τέκνων* A] *τέκνον* VL. *κύων* iam ante Cobetum (Mnem. VIII 35. 6) Iacobs. Addit. Ath. 65. 2. *σ'* (post *πῶς*) add. Dobr. *ἐσίδω* A] *εἰσίδω. περικεκαυμένον*] *πέριξ κεκαυμένον*? Dindf. Iacobsius de proverbio cogitabat *χαλεπὸν χορίων κύνα γεῦσαι.* non recte: ridet enim poeta haud dubie Euripidis Thyesten (quae tragoedia acta erat Ol. 85, 2) funestas liberorum dapes agnoscentem. propterea alterum versum dimetrum esse dochmiacum Bergkio credo, scribendum vero existimo *πῶς σφ' ἐσίδω ῥύγχος περικεκαυμένος*; videntur enim in Proagone Thyestae non liberorum carnes adpositae fuisse, sed ut comoediae conveniebat, farcimen a liberis confectum (*χορδὴ τέκνων*), in quo edendo cum labra sibi adusserit, exclamat '*qui possum liberos adspicere, labra adustus?*'

462

οἴμοι τάλας, τί μου στρέφει τὴν γαστέρα;
βάλλ' ἐς κόρακας. πόθεν ἂν λάσανα γένοιτό μοι;

Pollux 10, 44 *ὅτι δὲ οὐ μόνον ἐπὶ τοῦ ἀκινήτου ἀποπάτου τὰ λάσανα ὀνομαστέον, ἀλλὰ καὶ ἐπὶ τοῦ τιθεμένου καὶ ἀναιρουμένου, μαρτυροῦσιν Ἀριστοφάνης μὲν ἐν Προάγωνι εἰπὼν κτλ.* Antiphan. 176, 4 confert Bergkius. *ὁ τάλας* idem videtur esse, cuius erat fr. 461. *βάλλ' ἐς κόρακας* fortasse alteri personae tribuenda.

463

κάμνοντα δ' αὐτὸν τοῦ θέρους ἰδών ποτε
ἔτρωγ', ἵνα κάμνοι, σῦκα τῆς μεσημβρίας.

Athenaeus 3, 80a *ἄλλοι δέ φασιν ὅτι μὴ δεῖ σῦκα προσφέρεσθαι μεσημβρίας· νοσώδη γὰρ εἶναι τότε . . . Ἀριστοφάνης δ' ἐν Προάγωνι κτλ.* significatur nescio quis alteri tanto amore coniunctus, ut cum eum aegrotantem vidisset, ipse vellet aegrotare. cf. Pherecr. 80.

464

ὥρα βαδίζειν μοὔστὶν ἐπὶ τὸν δεσπότην·
ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

Athenaeus 10, 422e *δεδειπνάναι . . . Ἀριστοφάνης ἐν Προάγωνι κτλ. μοὔστὶν ἐπὶ* Bergk.] *μοι 'στὶν ἐπὶ* PV. *μοι 'στὶ πρὸς* L. recte *ἐπί*: videtur enim servus loqui, qui erum a convivio alienae domi habito domum deducere parat.

465

ὁ δ' ἀλφίτων γε πριάμενος τρεῖς χοίνικας
κοτύλης δεούσας εἴκοσ' ἀπολογίζεται.

Athenaeus 11, 478f *Ἀθηναῖοι δὲ μέτρον τι καλοῦσι κοτύλην . . . Ἀριστοφάνης Προάγωνι κτλ.* epitome *ἀλφίτων χοίνικας τρεῖς κοτύλης δεούσας*, ac sic Eustathius 1282, 53. 1. *γε* add. Schweighaeuserus. at quidni *δὴ* vel *μοι*? 2. *δεούσας*] *δὲ οὔσης* B. *δεούσης* Casaub. non recte. *εἴκοσ'* L, *membranae Italicae* Casauboni, B] *οἴκαδ'* A. Dobraeus *ἑκτέα λογίζεται.* de fraudulento promo condo haec dicta esse Bergkius arbitratur: is non plenas tres choenices quas emerat ero pro viginti choenicibus (vel pro octo, si Dobraeum sequaris) in rationem induxerat. quattuor autem *κοτύλαι* choenicem, octo choenices *ἑκτέα* efficiunt. Hultsch. Metrol. 83. *ἀπολογίζεται*, ut Xen. Hell. 6, 1, 3 *τἄλλα διοικῶν ἀπελογίζετο κατ' ἐνιαυτόν.* Oecon. 9, 8 *δίχα τὰ εἰς ἐνιαυτὸν ἀπολελογισμένα κατέθεμεν.*

466

τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια;

Athenaeus 9, 380d *παραφέρειν . . . Ἀριστοφάνης ἐν Προάγωνι κτλ.* cf. fr. 502. erus compellari videtur a conviva aliquo morae inpatienti.

467

σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης

Photius et Suidas *σταθερόν . . . τινὲς καὶ ἐπὶ τοῦ στασίμου,*

ὡς . . . καὶ Ἀριστοφάνης ἐν Προάγωνι κτλ. σημαίνει καὶ τὸ μόνιμον. cf. Plat. Phaedr. 242a ἤδη μεσημβρία ἵσταται ἡ δὴ καλουμένη σταθερά (ὅτε κατὰ κορυφὴν ὁ ἥλιος γίνεται Tim.). cf. Ruhnk. Tim. 235. colorem tragicum hoc maxime fragmentum habet.

468

Schol. Lucian. 140 Iacob. ὁ Φρυνώνδας ἐπὶ πονηρίᾳ βοᾶται Εὐπόλιδι ἐν Ἀστρατεύτοις, Δήμοις, Ἀριστοφάνει δὲ Προάγωνι. cf. fr. 26. Eupol. 39. 127.

469

ἐν πίθῳ τὴν κεραμείαν

παροιμία . . . ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων, ἀπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀριστοφάνης ἐν Προάγωνι. Schol. Plat. 322 Bekker. Zenob. 3, 65 et Diogenian. 2, 65 . . . ὡς εἴ τις μανθάνων κεραμεύειν, πρὶν μαθεῖν πίνακας ἢ ἄλλο τι τῶν μικρῶν πλάττειν, πίθῳ ἐγχειροίη. cf. etiam Gregor. Cypr. Mosq. 3, 28. Macar. 3, 90. Apostol. 7, 32. Schneidewin. Paroemiogr. praef. XVI. usus est Plato Lach. 187b. Gorg. 514e.

470

ἀντλίον

Bekker. Anecd. 411, 17 ἀντλιαντλητῆρα . . . Ἀριστοφάνης δὲ Προάγωνι καὶ Ἐπίλυκος Κωραλίσκῳ (fr. 5) τὸ αὐτὸ τοῦτο ἀντλίον κεκλήκασιν.

ΣΚΕΥΑΙ

Cf. quae ad cognominem Platonis fabulam adnotavimus.

ΣΚΗΝΑΣ ΚΑΤΑΛΑΜΒΑΝΟΥΣΑΙ

Mulieres interpretabatur Casaubonus (Athen. 4, 20 p. 301), quae ut faciunt mercatores in foro et viis publicis locum occupant ubi sua umbracula constituant. cf. Valcken. Theocr. Adoniaz. p. 309. contra Kuehnius (Poll. 8, 157) et Hemsterhusius (Poll. 10, 106) et cum eis Bergkius de mulieribus theatri sedes praeoccupantibus cogitabant. neutrum videtur probari posse. nam mercatores in foro σκηνὰς ποιοῦσι, non καταλαμβάνουσι, theatri autem sedes numquam σκηναί dicuntur, ne in Pace quidem 731 vel Thesm. 658. quid sit σκηνὴν καταλαμβάνειν ipse docet Aristophanes Pac. 880 εἰς Ἴσθμια . . . σκηνὴν καταλαμβάνω, ubi schol. RV οἱ γὰρ θέλοντες θεωρεῖν προκαταλαμβάνουσιν ἑαυτοῖς τόπους . . . πάσας δὲ τὰς πανηγύρεις θεωρίας ἐκάλουν. et Ven. ἔθος τῇ πανηγύρει τῶν Ἰσθμίων πρόπαλαι καταλαμβάνειν τὰς σκηνὰς (i. e. locum tentoriis idoneum) τοῖς πανη-

γυρίζειν βουλομένοις. itaque *σκηνὰς καταλαμβάνουσαι* mulieres sunt quae ut pompam ludosve quam optime spectent locum aptissimum eligunt tentoriisque occupant. cf. quem Bergkius indicavit Aristid. I 163. 4 Dind. *καθάπερ θέαν καταλαβόντες . . . οὐ τῷ μᾶλλον ἄλλων ἑαυτοῖς προσήκειν τῶν χωρίων τοὺς ἄλλους ἀφορίζοντες, ἀλλὰ τῷ φθῆναι κατασχόντες.* Sauppius Berichte der sächs. Gesellsch. d. Wissensch. 1855 p. 20.

de tempore non constat: neque fr. 471 in hac re ullius momenti est.

471

χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ,
τοὺς νοῦς δ' ἀγοραίους ἧττον ἢ 'κεῖνος ποιῶ.

Schol. Plat. Clark. 330 Bekk. (Porson. Miscell. Kidd. 268) *Ἀριστοφάνης . . . ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν . . . καὶ αὐτὸς δ' ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις· χρῶμαι γὰρ αὐτοῦ, φησί κτλ.* Plutarch. Mor. 30d *καθάπερ ὁ Ἀριστοφάνης περὶ τοῦ Εὐριπίδου φησί· χρῶμαι — στρογγύλῳ.* Bekker. Anecd. 339, 10 *ἀγοραῖος νοῦς· ὁ πάνυ εὐτελὴς καὶ συρφετώδης οὐδὲ πεφροντισμένος. οἱ γὰρ ἀγοραῖοι ἄνθρωποι ἀμαθεῖς καὶ ἀπαίδευτοι. οὕτως Εὐριπίδης.* crimen a Cratino obiectum facile etiam ab alio aemulo repeti poterat. quod poeta *in trimetris* de se ipse loquitur, singulare est: nisi forte aut chorum, ut Ach. 301, aut auctorem aliquem, ut Ach. 502, suo nomine dicentem fecit. cf. fr. 581.

472

λήκυθον
τὴν ἑπτακότυλον, τὴν χυτρεᾶν, τὴν ἀγκύλην,
ἣν ἐφερόμην, ἵν' ἔχοιμι συνθεάτριαν.

Pollux 10, 67 *προσθετέον δὲ . . . τὴν ἐν Ἀριστοφάνους Σκηνὰς καταλαμβανούσαις λήκυθον κτλ. εἴρηται γὰρ νῦν ἐπὶ ἐκπώματος.* idem 4, 121 *καὶ Ἀριστοφάνης δὲ συνθεάτριαν εἴρηκεν.* et 6, 158 *συνθεάτριαν δὲ . . . Ἀριστοφάνης εἶπεν.* et 2, 56 *καὶ θεάτρια καὶ συνθεάτρια ἡ παλαιὰ κωμῳδία. χυτρεᾶν — ἀγκύλην* Lobeck. Phryn. 147] *χυτραίαν* (*χυτρίαν*) — *καλήν.* quamquam cum Hesychius *ἀγκύλη· . . . ποτηρίου γένος εἰς κοττάβους* eius poculi usum ad cottabum pertinuisse dicat nescio an scribendum sit *τὴν παγκάλην.* scaena similis videtur esse Thesm. 706—761.

473

καὶ μὴν ἄκουσον, ὦ γύναι, θυμοῦ δίχα
καὶ κρῖνον αὐτὴ μὴ μετ' ὀξυρεγμίας.

Photius *ὀξυρεγμεῖν· ὅταν μεθ' ἡμέραν ἐποξίσῃ ἡ τροφή. Ἀρι-*

στοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις τὴν ὀξυθυμίαν οὕτως ἔφη κτλ. habent haec nescio quid tragici coloris. Bekker. Anecd. 56, 19 *ὀξυρεγμία καὶ ὀξωρεγμία (ὀξυερεγμία?) τὸ αὐτό ἐστι· λέγεται γὰρ ἀμφότερα.* cf. *ὀξυάκανθα, ὀξυέθειρος, ὀξυόδους, ὀξυωπής.*

474

ὡσπερεὶ Καλλιππίδης
ἐπὶ τοῦ κορήματος καθέζομαι χαμαί.

Pollux 10, 29 *καλεῖται οὕτω (κόρημα) καὶ τὸ σκεῦος καὶ τὸ κάθαρμα τὸ κορούμενον . . . καὶ τὸ μὲν σκεῦος καὶ ῥῆμα ὑπὸ Εὐπόλιδος εἴρηται ἐν τοῖς Κόλαξι* (fr. 157). *τὸ δὲ κορούμενον ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνους, ὥσπερ κτλ. ὡσπερεὶ Καλλιππίδης* Toupius] *ὥσπερ ἐν καλλιππίδῃ*. ad Strattidis Callippidem (*ἐν Καλλιππίδῃ Στράττιδος*) referebat Meinekius I 227. *ἐν Καλλιππίδου* H. Iacobi V 67. non recte. *Callippides* est clarissimus ille tragoedus, qui Alcibiadem Athenas redeuntem comitabatur. Athen. 12, 535d. Schneider. Xen. Symp. 3, 11. Wyttenb. Apophthegm. Lacon. p. 1154. Meinek. I 226. addo Aristot. Poet. 26 (1462a 10). Plut. Alcib. 32. Agesil. 21. Mor. 212e. 348e. Polyaen. 6, 10. Athen. 14, 621e. Vit. Sophocl. *Καλλιππίδην ὑποκριτὴν ἀπὸ ἐργασίας ἐξ Ὀποῦντος ἥκοντα παρὰ τὰς (τοὺς?) Χόας πέμψαι αὐτῷ σταφυλήν,* quae mortis eius causa fuisse dicebatur. Apostol. 13, 66. is igitur Telephum aliquem agens opinor aut Ulixem ad Phaeacas delatum flebili habitu humi consederat.

475

ἀλλ' ἔχουσα γαστέρα
μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε.

Athenaeus 7, 287a *οἱ Ἀττικοὶ βόακας. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις κτλ.* Etym. 218, 30 *Ἀριστοφάνης· ἀλλ' — βοάκων.* Zonar. I 413. Herodian. I 396, 11. II 335, 2. cf. Eccl. 51.

476

καὶ τῶν πλατυλόγχων διβολίαν ἀκοντίων

Pollux 7, 157 *Ἀριστοφάνης δὲ ἐν Σκηνὰς κακαλαμβανούσαις ἔφη κτλ.*

477

καὶ τῶν πλατυλόγχων, ὡς ὁρᾷς, ἀκοντίων

Pollux 10, 144 *Ἀριστοφάνης . . . ἐν Σκηνὰς καταλαμβανούσαις κτλ.* Dindorfius eundem utrubique (fr. 476) versum significari censet. at potuit fieri, ut altera persona eadem verba paullulum inmutata repeteret. '*διβολία* cuspis sive hasta duplici instructa acie.

Plut. Marcell. 25 ἀκόντισμα δ' ἦν ἑκάστῳ διβολία.' Bergk. Herodian. Hist. 2, 13 τάς τε διβολίας καὶ τὰ δόρατα ἐπισείειν.

478

τὴν πόρδαλιν καλοῦσι τὴν κασαλβάδα.

Pollux 7, 202 Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις κτλ. fort. καλῶ σε. aliter enim articulus offendit in accusativo praedicativo.

479

τὴν κακκάβην γὰρ κᾶε τοῦ διδασκάλου.

Athenaeus 4, 169 c τὴν χύτραν δ' Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις κακκάβην εἴρηκεν οὕτως κτλ. Pollux 10, 106 καὶ κακκάβην τὴν λοπάδα ἐρεῖς, εἰπόντος Ἀριστοφάνους ἐν Σκηνὰς καταλαμβανούσαις κτλ. κᾶε τοῦ (καετοῦ) Poll.] καστοῦ A Athen. non intellego, nisi forte proverbium erat κάειν τὴν τ. δ. κ. 'recoquere id quod a magistro didiceris.'

480

ὥσπερ [κόσκινον] αἰρόπινον τέτρηται.

Pollux 10, 114 ὁ δὲ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις ἔφη κτλ. κόσκινον ut manifestum glossema eieci. 'cribrum dicit quo frumentum ab lolio purgatur.' Dindorf. Bekker. Anecd. 22, 11 αἰρόπινον· κόσκινον. πίνος γάρ ἐστιν ὁ ῥύπος . . . αἰρόπινον οὖν τὸ κόσκινον τὸ τὰς αἴρας, ὅπερ ἐστὶ ῥύπος τῶν πυρῶν, καθαῖρον. Hesych. αἰρόπινον . . . κόσκινον, ἐν ᾧ πυροὶ σήθονται. et αἴρας· ἀγρίας βοτάνας. cf. Pherecr. 188. fort. ὁ δ' ὥσπ. αἰρ. τ. τὰς γνάθους.

481

τοῖχον μοχλισκίῳ σκαλεύειν

Pollux 10, 147 τάχα δὲ καὶ μοχλίον, εἰ καὶ τοῖς τοιχωρύχοις τοῦτο προστιθέασιν οἱ κωμῳδιοποιοί. καὶ μοχλίσκον δὲ τὸ τοιοῦτον Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις ὠνόμασεν εἰπὼν κτλ. μοχλισκίῳ Bergk.] μοχλίσκῳ. σκαλεύειν Kuehnius] καλάνειν A, καλαύειν C, κλαύειν B. Hesych. ἐσκάλευεν· ἐκινεῖτο (ἐκίνει), ὥρυσσεν. idem σκαλεύει· κινεῖ, ἀναστρέφει, ὀρύσσει.

482

ἀλλὰ συσπάσαι δεῖ τὰς κοχώνας.

Schol. Eq. 424 κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, τὸ μεταξὺ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν Σκηνὰς καταλαμβανούσαις. συσπάσαι Θ] συσπᾶσθαι. τὰς

κοχώνας] fort. *τὰ κοχώνα* Dindorf. potius *τὼ κοχώνα. ἀλλὰ συσπᾶσθαι* (*συσπάσαι*) *σε δεῖ* | *τὰς κοχώνας* Bergkius. Dindorfio *ἀλλὰ συσπάσαι* trimetri exitus videtur.

483

οὐδ' ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι.

Hesychius *οὐ γὰρ ἄκανθαι· παροιμία. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις κτλ.* Bergkius *οὐ γὰρ σῶς* '*si satis valeres, non renuntiasses convivio*'. at tum *ἂν* deesse non poterat. itaque Dindorfius *οὐδ' ἂν ἴσως*. ceterum cf. 272.

484

Harpocr. *δήμαρχος· ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.*

485

πεζίδα

τὴν ὤαν τοῦ ἱματίου. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις. Photius.

486

πηρίδιον

τὴν πήραν εἴποις ἄν, ὡς ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνης. Pollux 10, 172.

487

τριτοστάτις

Ἀριστοφάνης ἐν Σκηναῖς . . . Hesychius. *τριτοστάτις* Dindf.] *τριτοστάτης*. cf. Pollux 4, 106 *καὶ τὴν γυναῖκα δὲ τριτοστάτιν Ἀριστοφάνης καλεῖ.*

Praeterea ad hanc fabulam fr. 588. 862. 864 refert Bergkius.

ΤΑΓΗΝΙΣΤΑΙ

Ταγηνισταί eidem videntur esse quos Eupolis 346 *τοὺς περὶ τάγηνον φίλους* dicit. cf. eiusdem fr. 351. ad Calliam inridendum pertinere et cum Eupolidis Adulatoribus comparandam esse putabat Suevernius De Avibus 42. probabilius Bergkius, ne Eupolidis imitator nimius Aristophanes videatur, alium quendam adulescentem divitem et prodigum traduci censet. ac dubitari vix potest quin is Alcibiades fuerit, cum praesertim illi sodalibusque eius *τὸ ταγηνίζειν* usitatum esset. cf. Eupol. 351. accedit quod Prodici eum disciplina usum fuisse fr. 488. 490 docent. — actam esse Bergkius censet circiter Ol. 93, 3.

488

καὶ μὴν πόθεν Πλούτων γ᾽ ἂν ὠνομάζετο,
εἰ μὴ τὰ βέλτιστ᾽ ἔλαχεν; ἓν δέ σοι φράσω,
ὅσῳ τὰ κάτω κρείττω ᾽στὶν ὧν ὁ Ζεὺς ἔχει.
ὅταν γὰρ ἱστῇς, τοῦ ταλάντου τὸ ῥέπον
κάτω βαδίζει, τὸ δὲ κενὸν πρὸς τὸν Δία.
* * * *
οὐδὲ γὰρ ἂν ἀποθανόντες ἐστεφανωμένοι
προὐκείμεθ᾽, οὐδὲ βακκάρει κεχριμένοι,
εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει.
διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι·
πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται,
κατέδαρθεν· εὐδαίμων, ὅσ᾽ οὐκ ἀνιάσεται.
καὶ θύομεν αὐτοῖσι τοῖς ἐναγίσμασιν
ὥσπερ θεοῖσι καὶ χοάς γε χεόμενοι
αἰτούμεθ᾽ αὐτοὺς δεῦρ᾽ ἀνεῖναι τἀγαθά.

Stobaeus Floril. 121, 18 *Ἀριστοφάνους Ταγηνισταῖς*. lemma omissum in ed. Trincav., cod. V et Vind. *Ἀριστοφάνης ταγηνῖ*. totum fr. omissum in cod. A. 1. *γ᾽ ἂν* Voss.] *ἄν*. 3. *κρείττω ᾽στὶν* Voss.] *κρείττον᾽ ἐστὶν*. 4. *ἱστῇς* Cobetus De orat. artific. p. 23] *ἱστᾷς*. *ῥέπον* Voss.] *ῥέον*. lacunam post v. 5 indicavit Bergkius consulto omissa esse a Stobaeo censens 'quae alter ex conloquentibus interposuerat'. 6—14 non recte Aristophani Dindorfius adimit novae comoediae poetae tribuens. sunt enim ex eadem comoedia eademque scaena: 6. *οὐδὲ γὰρ ἂν ἀποθανόντες* K.] *οὐ γὰρ ἄν ποτε οὕτως. οὕτω στεφανωμένοι* Voss. Vindob. *ἀλλ᾽ οὐ γὰρ ἄν ποθ᾽ οὕτως* Grotius pravum versum esse non sentiens. *οὔτ᾽ ἂν ἀποτεθνεῶτες* Iacobs. Lect. Stob. 2. *οὐ γὰρ ἄν ποτε | οὕτω στεφάνοισιν*. Meinekius, et Bergkius in exitu addens *νεκροί*. 7. *οὐδὲ βακκάρει κεχριμένοι* conl. Magnet. 3 Cobet. V. l.[2] 127] *οὐδ᾽ ἂν κατακεκριμένοι. κατακριιόμενοι* Voss. Vindob. *κατακεκρυμμένοι* Nmp. *κατακεχρισμένοι* Gesner. *ἄνω κάτω κεχρισμένοι* Grotius. *οὐδ᾽ αὖ κρᾶτα κατακεχρισμένοι* Gaisf. *οὐδ᾽ ἂν κατακεχριμένοι μύροις* Dindorfius. 11. *ὅσ᾽* K.] *ὅτι*. '*felicem, qui tot sollicitudines iam non sensurus sit*' (quas sensurus erat, si diutius vixisset). *ὁ δ᾽* Iacobs. Lect. Stob. 145. *ἔτ᾽ οὐκ* Hanov. Exerc. crit. 148 conl. Plut. 1177. 12. *θύομεν*] *θύομέν γ᾽* Grotius. 13. *γε*] *τε* Voss. *χεόμενοι* Seidlerus] *χέομεν*. 14. *ἀνεῖναι* Fritzsch. Ran. p. 441] *ἀνιέναι*. *τἀγαθά*] *τὰ καλὰ* (spatio intermisso vacuo) *γαθὰ* Voss. unde *τὰ καλὰ δεῦρ᾽ ἀνιέναι* Dindorfius.

cum v. 4 Iacobsius Lect. Stob. 2 confert Plut. Mor. 485f *ἀδελφῷ δὲ χρὴ μὴ καθάπερ πλάστιγγα ῥέπειν ἐπὶ τοὐναντίον*, cum

v. 6 idem p. 3 Eccl. 538, Bergkius Eccl. 1032 sq. addi poterat Lys. 602 sq. *Prodicum* potissimum vitae mortem antetulisse admonet Bergkius conl. Welcker. Mus. Rhen. I 608 sq. 559. poterant tamen illa dici etiam nulla Prodici ratione habita. Toeppel. Progr. Neobrand. 1867 p. 6. 7. cum v. 11 non sine fructu comparabuntur quae Lehrsius disputavit Popul. Aufs.[2] 296. 7. 325. 344. 12. *αὐτοῖσι τοῖς ἐναγίσμασιν* manifesto corrupta sunt, siquidem *ἐνάγισμα* Atticis scriptoribus ignotum est et *αὐτοῖσι τοῖς* interpretationem non habet idoneam. at saepissime coniunguntur verba *χεῖσθαι* et *ἐναγίζειν*. Isae. 6, 51. 65. cf. 7, 30. Herodot. 2, 44. 167. Aesch. Pers. 220. non dubito quin scribendum sit *καὶ θύομεν αὐτοῖς ἡρίοις τ' ἐναγίζομεν*. Harpocrat *ἠρία· Λυκοῦργος ἐν τῷ κατ' Αὐτολύκου* (fr. 3. 4). *ἠρία εἰσὶν οἱ τάφοι . . . φασὶ δέ τινες κοινότερον μὲν πάντας τοὺς τάφους οὕτως ὀνομάζεσθαι, κατ' ἐξαίρετον δὲ τοὺς μὴ ἐν ὕψει καὶ οἰκοδομήματα ἔχοντας, ἀλλ' ὅταν τὰ σώματα εἰς γῆν κατατεθῇ*. cf. Demosth. 57, 67 *οἷς ἠρία ταὐτά*. Dinarch. 2, 17. C. I. 4284. 6262. 6805. 6858. de anapaesto post *θύομεν* inciso cf. Bernhardi Act. soc. phil. Lips. I 274. 5.

489

ἀλλὰ στεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις
ἀποχρῶσαν ἤδη.

Bekker. Anecd. 439, 22 et Suidas *ἀποχρώντως. αὐτάρκως, ἱκανῶς. Ἀριστοφάνης Ταγηνισταῖς κτλ. ταγηνίταις* cod. Bekker. decrepitus aliquis his verbis compellatur, quae videntur ex eadem ac fr. 488 scaena desumpta esse. *ἀποχρῶσαν ἤδη*] *ἤδη 'ποχρώντως* M. Schmidtius Hesych. *ἀποχρώντως. στεφάνωσαι*, i. e. ad mortem. cf. exempla ad fr. 488 adlata.

490

τοῦτον τὸν ἄνδρ' ἢ βυβλίον διέφθορεν
ἢ Πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

Schol. Nub. 361 et Suidas *Πρόδικος· μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως κτλ.* v. 2 Procl. Plat. Parmen. IIII 50 Cousin, ubi coniungitur cum Eupol. 352, 1. *τοῦτον τὸν ἄνδρ'* Hermannus] *τὸν ἄνδρα τοῦτον. τὸν ἄνδρα τόνδ'* Dindf. potest etiam *ἢ* omitti. *βυβλίον* K.] *βιβλίον. διέφθορεν*] *διέφθειρεν* G. Ald. Suid. *εἷς γέ τις*] *εἴσφρησις* Schol.

491

τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν·
εἶτ' Ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ
ᾄδωμεν εἰς τὸν δεσπότην ἐγκώμιον.

Athenaeus 15, 677 c *Ἰσθμιακόν. οὕτως τοῦτον καλούμενον στέφανον Ἀριστοφάνης μνήμης ἠξίωσεν ἐν Ταγηνισταῖς λέγων οὕτως κτλ.* apud Athenaeum *Ἰσθμιακόν* est masculinum, i. e. *στέφανον*, ut *θυρεατικοί, κυλιστοί* Ath. 678 b. fortasse etiam 677 b scribendum *Ἰσθμιακοί* pro *Ἰσθμιακόν*. Aristophanes autem scripsit *εἶτ' Ἰσθμιακοὺς λαβόντες*. sunt chori verba canticum in dominum canere parantis.

492

Α. τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν;
Β. τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα.

Athenaeus 10, 418 d *ταῦτα δὲ καπανικὰ εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς· τί κτλ. οἷον τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον.* Eustathius 857, 30 *δηλοῖ Ἀριστοφάνης ἐν τῷ Λυδῶν δεῖπνα καὶ Θετταλῶν, ὧν τὰ Θετταλικὰ πολὺ καπανικώτερα.* Hesych. *καπανικώτερα· ἀπὸ τῆς φάτνης. χορταστικώτερα. τινὲς δὲ ἀντὶ τοῦ μείζονα. καπάνας γὰρ ἀπήνας λέγουσι.* cf. Ahrens Dial. II 134. 2. *τὰ* Steph. Thes. Lond.] *καὶ τὰ. Θετταλικὰ* C] *θετταλικῶν. Θετταλῶν* Meinekius in ed. Athen. in v. 1 utique scribendum est *τί πρὸς τὰ Λυδῶν δεῖπνά σοι τὰ Θ.*, i. e. *τί σοι δοκεῖ εἶναι τὰ Λ. πρ. τ. Θ.* explicari quidem possit quod vulgatur ita: quid tibi cena (ea qua modo fruebaris) esse videbatur prae Lydorum Thessalorumque epulis? iam quod de Lydis respondit excidit (*τὰ δὲ τῶν γε Λυδῶν μυριάκις τρυφερώτερα*). at tum valde iniuriose responderet *ὁ ταγηνιστής*. videntur potius nulla alia cena comparata duo parasiti Lydorum Thessalorumque epulas aestimare.

493

ἐρείδετον, κἀγὼ κατόπιν σφῷν ἕψομαι.

Photius *ἐρείδειν· τὸ ἐσθίειν σφοδρῶς· ἢ ἄλλο τι ἐνεργεῖν συντόνως. Ταγηνισταῖς κτλ.* hic manifesto est *acriter progredi.* cf. fr. 74.

494

οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὐ ἀπελάγχανεν.

Harpocratio *ἀπολαχεῖν· ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν . . . Ἀριστοφάνης Ταγηνισταῖς κτλ. οὐ* om. Darmst. *οὐκ* Salmas. cf. Dobr. Aristoph. p. 104. Bekker. Anecd. 430, 9 *ἀπολαχεῖν· ἀντὶ τοῦ λαχεῖν. οὕτω Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν.* cf. ibid. 1113 (ubi *ἀντιλαχεῖν*) et Zon. 265. Meinekius V 67 *οὐ μὴν ὁ σός γ' ἀδελφὸς ἀπελάγχανον*, i. e. *οὐ ἀπελάγχανον.* non tuus frater id possidet quod ego sortiebar. quod miror Meinekio placuisse. optime Bekker. Anecd. 217, 3 *ἀπολαχεῖν τὸ διανείμασθαι τὰ πατρῷα ἢ καὶ ἄλλα κοινά, δόντα πρός τινας καὶ ἀπολαβεῖν τὸ προσῆκον μέρος ἕκαστον τῶν διανειμαμένων.* scribendum videtur *ἀπελάγχα-*

νεν et supplendum fere quod in proximis legebatur διεσπάθησε: *non dissipavit frater tuus quae (tum) sortiebatur* cf. fr. 620.

495

ἀπασκαρίζειν ὥσπερεὶ πέρκην χαμαί

Suidas ἀπασκαρίζειν· Ἀριστοφάνης Ταγηνισταῖς κτλ. exscripsit ex conlectione λέξεων χρησίμων Bekker. Anecd. 418, 5, ubi hodie lemma solum relictum est. cf. Cratin. 26. πέρκην accusativus est subiecti. Hesych. ἀπασκαρίζειν· σπαίρειν.

496

υποπεπώκαμεν γάρ, ὦνδρες, καὶ καλῶς ἠρίσταμεν.

Athenaeus 10, 422 f ἠρίσταμεν δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς κτλ. γάρ add. Porsonus. μὲν Erfurdt. ὦνδρες Dindorf.] ὦ ἄνδρες.

497

λαμβάνετε κόλλαβον ἕκαστος.

Athenaeus 3, 110 f κολλάβους δ' ἄρτους ὁ Ἀριστοφάνης ἐν Ταγηνισταῖς κτλ. Casaubonus in ed. pr. λαμβάνετέ τε κόλλαβον | ἕκαστος. potest tamen tetrametri trochaici initium esse.

498

τὸ δ' ἔτνος τοὐν ταῖς κυλίχναις τουτὶ θερμὸν καὶ τοῦτο παφλάζον.

Pollux 10, 88 κυλίχνας δὲ ἀγγεῖον ὀψοφόρον ἐν Ταγηνισταῖς δόξειεν ἂν Ἀριστοφάνης λέγειν εἰπὼν κτλ. τοὐν Dindorfius] ἐν. καὶ τοῦτο corruptum videtur.

499

(εἶτ' ἔγχελυς ἦν μάλα) γενναία·
Βοιωτὶς δ' ἦν ἐξ Ἀγχομενοῦ.

Herodianus I 180, 32. II 913, 23 Lentz. Ἀγχομενὸς γενναῖα βοιώτιος ἐν Ἀγχομενοῦ Ἀριστοφάνης Ταγηνισταῖς. ut supra scripsimus Lehrsius. quibus quae uncis inclusa praeposui, exempli causa adieci. Ἀγχομενός nomen est proprium hominis, non oppidi ut Ὀρχομενός. videtur Lehrsio cena conlaticia significari, ad quam anguilla Boeotia ex Anchomeni domo missa sit, conl. Pac. 1149 (κἀξ ἐμοῦ). 1154. alia Herwerdenus Anal. crit. 29 et Fritzschius De com. gr. fr. 7 excogitaverunt.

500. 501

χθονία θ' Ἑκάτη
σπείρας ὄφεων ἑλελιζομένη.
Β. τί καλεῖς τὴν Ἔμπουσαν;

Schol. Ran. 293 *ἔνιοι δὲ (τὴν Ἔμπουσαν) τὴν αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς· χθονίας — ἑλελιζομένη. εἶτα ἐπιφέρει· τί καλεῖς τὴν ἔμπουσαν. χθονία θ' Ἑκάτη σπείρας ὄφεων* Porsonus] *χθονίας Ἑκάτης πεῖρα σοφῶν. ἑλελιζομένη* Seidlerus] *ἐξ-ελιζομένη. εἱλιξαμένη* Porsonus. cf. Soph. fr. 490 N. *στεφανωσαμένη δρυῒ καὶ πλεκταῖς | ὠμῶν σπείραισι δρακόντων.* Hesych. *ἑλελιζομένη· σειομένη.* 3. *καλεῖς Ἑκάτην* Bergkius. addendum videtur οὗτος, *τί καλεῖς τ. Ἔμπ.;* Bergkius poetae tragici fragmentum (adesp. 306 N.), quod ipse Euripidis, Porsonus Aeschyli esse iudicat, imitatione expressum esse censet. cf. Ran. 293 et Fritzsch. Ran. p. 162. 3.

502

φέρε παῖ ταχέως κατὰ χειρὸς ὕδωρ,
παράπεμπε τὸ χειρόμακτρον.

Athenaeus 9, 410 b *χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς χεῖρας ἀπεμάττοντο ὠμολίνῳ . . . Ἀριστοφάνης Ταγηνισταῖς κτλ. παράπεμπε,* ut *παραφέρειν* 466. alter versus est logaoedicus.

503

ὡς οὐψώνης διατρίβειν
ἡμῶν τἄριστον ἔοικεν.

Athenaeus 4, 171 b *ὀψώνην δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τούτων κτλ. τἄριστον* Bergk. R. c. Att. 162] *τὸ ἄριστον* (*prandium*). sunt paroemiaci continuati, ut Cratin. 144.

504

ὁ δὲ λύων κύστιν ὑείαν
κἀξαιρῶν τοὺς Δαρεικούς

Pollux 10, 151 *ἐπὶ τοῦ αὐτοῦ δὲ (τοῦ βαλλαντίου) κύστιν ὑείαν, ἐν Ταγηνισταῖς κτλ. κἀξαιρῶν*] *κἀξαίρων. κᾆτ' ἐξαιρῶν* Bentleius. item paroemiaci.

505

δεῦρο δ' ἂν οὐκ ἀπέδραμεν.

Herodianus Piersoni 465 et Bekker. Anecd. 1066 *ἀπέδραν ἐγὼ τὸ πρῶτον πρόσωπον . . καὶ ἀπέδραμεν ἡμεῖς τὸ πληθυντικόν. καὶ*

Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς κτλ. Bekker. Anecd. 11, 1 *ἀπέδραμεν τετρασυλλάβως . . . καὶ τὸ ἑνικὸν πρῶτον πρόσωπον ἀπέδραν* (ᾰ). quod Bergkius ex Phrynich. Ecl. 266 ut Aristophanis fragmentum adfert, *ἐγὼ δ' ἀπέδραν ἐκεῖνον*, re vera est Phrynichi comici fr. 44. de aoristo *ἀπέδραν* cf. Lobeck. Phryn. 737. est exitus tetrametri anap. vel addito *καὶ* (*δεῦρο*) paroemiacus.

506

ἅλις ἀφύης μοι. παρατέταμαι γὰρ τὰ λιπαρὰ κάπτων.
ἀλλὰ φέρεθ' ἡπάτιον, ἢ καπρίδιον νέου
κόλλοπά τιν'· εἰ δὲ μή, πλευρὸν ἢ γλῶτταν ἢ
σπλῆνά γ' ἢ νῆστιν, ἢ δέλφακος ὀπωρινῆς
ἠτριαίαν φέρετε δεῦρο μετὰ κολλάβων
χλιαρῶν.

Athenaeus 3, 96 c *γλώσσης δὲ μέμνηται Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τούτων· ἅλις κτλ.* v. 2 Athen. 3, 107 f *ἡπάτιον Ἀριστοφάνης εἴρηκεν ἐν Ταγηνισταῖς.* v. 4—6 Athen. 3, 110 f *κολλάβους δ' ἄρτους ὁ Ἀριστοφάνης ἐν Ταγηνισταῖς* (fr. 497). *καὶ πάλιν· ἢ δέλφακος — χλιερῶν.* Schol. Eq. Ald. 645. Acharn. 639. Suidas *ἅλις, ἀφύα, θωπεύει* et *παρατέταμαι.* Etymol. m. 439, 44. Photius 299, 5. Eustathius 1752, 16. v. 3. Hesych. *ἐκολλόπωσε· . . . ἔστι δὲ τὰ νωτιαῖα μέρη τῶν βοῶν, ἐξ ὧν γίγνονται οἱ κόλλοπες.* v. 4. Photius *νῆστιν· τὸ ἔντερον ἢ σπλῆνα ἢ γλῶτταν. Ἀριστοφάνης.* idem *νῆστις· τὸ μεταξὺ τῆς κοιλίας καὶ τοῦ στομάχου ἔντερον . . . ἔντερον, ἐν ᾧ περιελίττουσιν οἱ μάγειροι τὰς χορδάς.* Athen. 9, 374 f *Ἀριστοφάνης Ταγηνισταῖς· ἢ δέλφακος ὀπωρινῆς ἠτριαῖον.* Etymol. m. 439, 42 *Ἀριστοφάνης . . . ἠτριαία, θηλυκῶς, ἐν Ταγηνισταῖς.* 1. *παρατέταμαι*] *παρατέταγμαι* A Athen. *κάπτων*] *ἐσθίων* ex interpretamento Schol. Ach. 639, Suid. *ἅλις, θωπεύει, παρατέταμαι.* 2. *φέρεθ'* Dindorf.] *φέρετ' ἀπόβασιν. φέρετ' ὀπτά, βάτιν* Seidlerus. *φέρεθ' ἡπάτιον ἢ βάτιον ὀπτὸν* Fritzschius. 3. *τιν'* Dindf.] *τινά.* 4. *σπλῆνά γ'* Hermannus] *σπληνός. σπλῆνα* Phot. *σπλῆνας* Seidlerus. *ὀπωρινῆς* Athen. 3, 110 f. 9, 374 f] *ἢ ῥίνης* 96 c. 5. *ἠτριαίαν* Athen. 3, 110 f et Etymol.] *ἠτριαῖον. ἢ τριέα* vulgo 96 c. 6. *χλιαρῶν*] *χλιερῶν* 110 f.

metrum v. 1 est ⏑⏑⏑⏑–– ter repet., numeris anapaesticis, si quid video. ac sic Bergkius Mus. Rhen. XX 290, *διπλοῦν ἀνάπαιστον* adpellari posse dicens. cetera sunt paeonica.

507

μηδὲ τὰ Φαληρικὰ τὰ μικρὰ τάδ' ἀφύδια

Athenaeus 7, 285 e *ἀφύδια δ' Ἀριστοφάνης Ταγηνισταῖς κτλ.* *τὰ Φαληρικὰ τὰ μικρὰ* Porson. Gaisf. Hephaest. 331] *τὰ μικρὰ τὰ Φαληρικά.* ad eandem ac fr. 506 fabulae partem videntur pertinere.

508

Athenaeus 6, 269e *τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους; πάντες γὰρ τῆς καταχήνης αὐτοῦ πλήρεις ἐστέ.* aureae aetatis felicitatem cum contemptu quodam vel ironia etiam in Tagenistis commemorari dicit.

509

Διὸς Κόρινθος

μέμνηται δὲ ταύτης Ἀριστοφάνης — καὶ ἐν Ταγηνισταῖς. Schol. Platonis 368 Bekk. cf. Ran. 439.

510

λίθους πωρίνους

ὡς ἐν Ταγηνισταῖς. Pollux 10, 173.

511

μελιτηρὸν ἄγγος

ἐν Ταγηνισταῖς. Pollux 10, 93. *μελιτηρὸν* recte Cobet. Mnem. V 194] *μελιτήριον.* cf. *ἀλφιτηρός, οἰνηρός, σιτηρός, μυρηρός, ἀνθρακηρός, ὀξηρός, γαρηρός, ἐλαιηρός, μαζηρός, ἰχθυηρός.* verum fortasse Pollux *ἐπίχυσιν* apud Aristophanem dici narrat pro *μελιτηρῷ ἄγγει.* scribit enim: *τὸ δὲ ὄνομα ἡ ἐπίχυσις εἴρηται ἐν Δαιταλεῦσιν· ἐν δὲ Ταγηνισταῖς ὠνόμασταί τι καὶ μελιτηρὸν ἄγγος* (*ἐπίχυσις*). antea *τὴν ἐλαιηρὰν ἐπίχυσιν* commemoraverat.

512

ἀμφαρίστερον

Galenus Hipp. aphor. V 322 ed. Basil. Kuehn. XVIII 147. 8. *ἀμφιδέξιον Εὐριπίδης εἴρηκε σίδηρον τὸν ἑκατέρωθεν μὲν τέμνοντα, περιδέξιον δὲ τὸν Ἀστεροπαῖον Ὅμηρος τὸν ἀμφοτέραις ταῖς χερσὶν ὁμοίως χρώμενον . . . κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀμφαρίστερον Ἀριστοφάνης εἶπεν ἐν Ταγηνισταῖς ἄνθρωπον ἀριστερόν.* i. e. hominem *utraque manu inhabilem*, prorsus ineptum. Bekker. Anecd. 3, 20 *ἀμφαρίστερος· ἐναντίον τῷ περιδέξιος· σκωπτικὸν πάνυ τὸ ὄνομα.* Hesych. *ἀμφαρίστερος· ἀμφοτέρωθεν ἀριστερός . . . ἐναντίος τῷ περιδεξίῳ.*

513. 514

βάθρα, βαθρίδια

ὡς ἐν Ταγηνισταῖς. Pollux 10, 47. *βαθρίδια* Hemsterhus.] *βαθράδια.* etiamne *βάθρα* ad Tagenistas pertineant dubium est.

515

δόκος

πρὸς ἀντιδιαστολὴν τοῦ δοκὸς ὀξυτόνου τοῦ σημαίνοντος τὴν δόκησιν. καὶ παρὰ Ἀριστοφάνει ἐν Ταγηνισταῖς σημαίνει τὴν ἀγχόνην. Cramer. Anecd. Ox. I 223, 19. Herodian. I 148, 27 Lentz. immo *ὁ δόκος* est *opinio* (*ἡ δόκησις*), *ἡ δοκός trabs.*

516

ἐσχάρια

Pollux 10, 101 *ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο καὶ ἐσχάριον, Ἀριστοφάνους ἐν Ταγηνισταῖς εἰπόντος ἐσχάρια.*

517

καρπεύειν

τὸ εὐκαρπεῖν ἐν Ταγηνισταῖς. Pollux 7, 149.

518

κηρύκιον

ὡς ἐν Ταγηνισταῖς. Pollux 10, 173. conchae marinae genus est.

519

κύπασσις

χιτῶνος εἶδός φασιν αὐτὸν εἶναι . . , οἱ μὲν γυναικείου, οἱ δὲ ἀνδρείου. μέμνηται δ' αὐτοῦ . . . καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς. Harpocratio.

520

κωνῆσαι

Ἀριστοφάνης ἐν Ταγηνισταῖς τὸ περιενεγκεῖν λέγει. Etym. m. 551, 23. Gud. 358, 22. Cramer. Anecd. Par. IIII 52, 17. *κωνῆσαι*] *κωνίσαι* Etym. m. Sorb. Et. Gud. Cram. An. *περικωνῆσαι* Bergk. conl. Vesp. 600. *περιενεγκεῖν*] *περιενείκειν*, *περιενικεῖν* pars codicum. an *περιεγκινεῖν*? *κωνεῖν* a *κῶνος*, i. e. *βέμβιξ*. Hesych. *κωνῆσαι· κύκλῳ περιενεγκεῖν* et *ἀνακωνᾶν· ἀναστρέφειν.* cf. *ἐκώνα* et *κωνᾶν*. Photius *κωνῆσαι· περιενεγκεῖν . . . κώνους γὰρ καλοῦσι τοὺς στροβίλους . . . εἴληπται ἀπὸ τῆς τῶν κώνων περιαγωγῆς.*

521

μυρίδιον

εἴρηκε τὸ μύρον Ἀριστοφάνης ἐν Ταγηνισταῖς. Pollux 10, 119.

522

νεβρίδα

ὡς ἐν Ταγηνισταῖς. Pollux 10, 173.

523

Photius et Suidas, Apostol. 13, 87 *παραιξορουσον* (Suidas *παραιξοροῦσιν*, Apostol. *παραξοροῦσιν*)· *Ἀριστοφάνης Ταγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι, Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι. Πάρι, ἐξόρουσον* ex Il. 3, 325 Dindorf., *παρεξόρουσον* Dobraeus et Bernhardyus in Suida. *πάρεξ ὄρουσον* Meinekius. est ex eodem dicendi genere atque *οὐκ ἀπολιβάξεις; οὐ πτερυγιεῖς;* al.

524

παραλοῦται

(*Ἀριστοφάνης*) *ἐν Ταγηνισταῖς*. Pollux 7, 168. cf. fr. 55.

525

σπινός

διὰ τοῦ ἑνὸς ν λέγουσιν. Ἀριστοφάνης Ταγηνισταῖς. Photius. *σπίνος* scribi iubet Herodian. I 176, 14. II 447, 13. 945, 17.

526

τέλειον

Schol. Platon. 383 Bekk. *ἐκιρνῶντο* (*ἐν ταῖς συνουσίαις*) *κρατῆρες τρεῖς, καὶ τόν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος . . . ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς . . . Ἀριστοφάνης Ταγηνισταῖς.*

527

φήληξ

Schol. Pac. 1174 *Σαρδιανικόν· καὶ ἐν Ταγηνισταῖς τῇ λέξει κέχρηται.* ita Bekkerus, Dindorfius ad v. 1165 rettulit, ubi V *οὗτος δὲ* (voce *φήληξ*) *ἐπὶ τοῦ ὠμοῦ σύκου κέχρηται, εἰπὼν οἰδαίνοντα· οἰδαίνεται γὰρ ὅτε ἄρχεται πεπαίνεσθαι· καὶ ἐν Ταγηνισταῖς δὲ τῇ λέξει κέχρηται.* Bekker. Anecd. 71, 4 *φήληκες· τῶν σύκων τὰ δόξαν παρέχοντα ὡς ἤδη πέπονα καὶ ἐδώδιμα, ἄωρα δέ ἐστι.* 315, 11 *φήληξ· δ' ἐστὶν ὁ ὄλυνθος ὁ φαινόμενος μὲν ὥσπερ πέπειρος, οὐκ ὢν δέ.*

Ad Tagenistas sine dubio pertinet fr. 680. ac probabiliter fr. 672 ad eosdem refert Toeppelius Eupol. Adul. 40. cf. etiam fr. 675.

ΤΕΛΕΜΗΣΣΗΣ

Sic sine dubio nomen scripsit Aristophanes. cf. fr. 534. 5. Telmessenses, gens Cariae, in ostentis animadvertendis diligentissima (Cic. De div. 1, 94. cf. 91). cf. Phot. *Τελμισσεῖς*. Aristandri Telmessensis de Alexandri magni corpore vaticinium est apud Aelianum V. h. 12, 64. cf. Schoemann. Antiq. gr.[2] II 296. eorum no-

mine Aristophanes usus esse videtur, ut vatum fraudes et superstitionum quae tunc Athenis vigebant vanitatem inrideret. de tempore non constat. si tamen vera est Meinekii Bergkiique de Aristyllo fr. 538 coniectura, posterioribus poetae haec fabula adnumeranda est.

528

οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν τρόπον
ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν πραγμάτων.

Schol. Platon. 335 Bekk. *ἐν δὲ τοῖς Ἀριστοφάνους Τελμησσεῦσι* (*τὸ τέως*) *ἀντὶ τοῦ πρότερον κεῖται κτλ.* fortasse ex prologo excerpta. de certamine comico poeta loquitur, *καινὰς ἰδέας* spectatoribus promittens.

529

Aristides I 277, 6 Iebb. *ἡ κωμῳδία γε τὸ λοιπόν ἐστιν, ἔλεγον δὲ ἀναφέρων εἰς τοὺς Τελμισσέας τοῦ Ἀριστοφάνους ὡς ἐκεῖ λόγῳ τις ἠγωνίζετο, ἔργῳ δὲ οὔ.* quae verba prorsus obscura sunt. Bergkius Aristophanem scripsisse existimat *λόγῳ γὰρ ἠγωνιζόμεσθ', ἔργοισι δ' οὔ.* quae artissime videntur coniungenda esse cum fr. 528.

530

Α. τράπεζαν ἡμῖν εἴσφερε
τρεῖς πόδας ἔχουσαν, τέτταρας δὲ μὴ 'χέτω.
Β. καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι;

Athenaeus 2, 49 c *Ἀριστοφάνης*. Eustathius 1398, 17. 867, 25. 10, 80 *Ἀριστοφάνης ἐν Τελμισσεῦσι· καὶ πόθεν — λήψομαι.* idem 6, 83 *τρίποδες . . . ἐν Τελμισεῦσιν Ἀριστοφάνους. εἴσφερε* Porsonus] *φέρε*. aptius videtur *ἔκφερε*. cf. Pherecr. 67. *τέτταρας* Eustath.] *τέσσαρας*.

531

οἴνου τε Χίου στάμνον ἥκειν καὶ μύρον.

Pollux 10, 72 *Ἀριστοφάνης ἐν Τελμισσεῦσι λέγει.* excidit *κέλευσον* (*αὐτὸν φέροντα*). artissime videntur cohaerere cum fr. 530 et 532.

532

πινακίσκον ἄπυρον ἰχθυηρόν

Pollux 10, 82 *Ἀριστοφάνης δ' ἔοικε διαιρεῖν τινας ἀπύρους καὶ ἐμπύρους πινακίσκους, ὡς ὅταν φῇ ἐν Τελμισσεῦσι κτλ.* Bekker. Anecd. 14, 22 *ἄπυρον πινακίσκον· καινόν, μήπω πυρὶ προσενηνεγμένον.* fortasse inserto *τ'* post *ἄπυρον* continuanda cum 531. — Plut. 814 confert Dindorfius.

533

ἀλφιτόχρωτος κεφαλῆς

τῆς πολιᾶς. Ἀριστοφάνης Ταλμισσεῦσιν. Bekker. Anecd. 386, 6. Hesychius *ἀλφιτόχρως· λευκή, πολιά.* Eustathius 868, 37. 976, 53. cf. Lobeck. Rhemat. 325. sunt duo choriambi: sed ex trimetro excerpta existimaverim inserta inter utrumque nomen voce monosyllaba.

534. 535

ὡς ἂν τις ἂν οὖν ἢ τί ποιήσας, ὦ Τελεμησσῆς;

* * * *

φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ', ὦ Τελεμησσῆς;

Stephanus Byzant. *Τελμησσός· πόλις Καρίας . . . ὁ πολίτης Τελμησσεύς, καὶ δρᾶμα Ἀριστοφάνους Τελμησσεῖς. λέγεται καὶ τετρασυλλάβως, ὡς αὐτὸς ἐν αὐτῷ· ὡς — Τελεμησσεῖς, καὶ πάλιν· φέρε — Τελεμησσεῖς. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος.* Herodian. II 227, 28. 589, 8. 895, 24. — 1. *ἢ τί* Meinek.] *ἦτι* V. *ἦτι* R. *ὅτι* A. *ὦ Τελεμησσεῖς* Bergk. (*Τελεμησσῆς* Meinek.)] *ὡς Τελεμισσεῖς* RV, *ὡς Τελμισσεῖς* A. Meinekius aut *πῶς ἂν τις ἂν οὖν, ἤ τι ποιήσας πείσειεν ἄν, ὦ Τ.* aut *πῶς ἂν τις ἂν οὖν ταῦτ' εἰδείη; τί π. κτλ.* 2. *Τελμισσεῖς* A, *Τελμισσεῖς* RV. in Kirchhoffii inscriptionibus semper *Τελεμήσσιοι*, veluti 37 p. 19 et 22. 234 p. 118. postea semper *Τελμησσεύς*. cf. Roehl. Ind. inscr. gr. in primo versu *πῶς ἢ τί ποιήσας* molestissimum, *πῶς ἂν τις ἂν* Atticis inauditum, siquidem iteratae particulae semper vox gravior interponitur. fortasse poeta scripsit *πῶς μάντις δ' ἂν τούτων εἴην; τί π. ὦ Τ.*

536

μεταπέμπου νῦν ταῦτα σπουδῇ καὶ μύρον, εὕρημα Μεγάλλου.

Hesychius *Μετάλλειον μύρον· Ἀριστοφάνης κτλ.* Athen. 15, 690f *τὸ Μεγάλλειον . . . μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμισσεῦσι.* Etym. m. 587, 7 *διὰ τοῦ γ̄ γράφει* (*Μεγάλλου*) *Ἀριστοφάνης Τελμισεῦσιν. Ὧρος. Μεγάλλου* Athen. et Etym.] *Μετάλλου* Hesych. cf. Pherecr. 140.

537

μελανοπτερύγων κορακίνων

Athenaeus 7, 308f *Ἀριστοφάνης ἐν Τελμισσεῦσιν.* aut paroe-

miacus aut exitus tetr. anap. de *coracinis* cf. Pherecr. 56. fortasse usus eorum erat in haruspicina.

538

Etymol. m. 142. 143 Ἀρίστυλλος· ὄνομα παρ' Ἀριστοφάνει. εἴρηται δὲ ὑποκοριστικῶς ὁ Ἀριστοκλῆς. ὡς γὰρ παρὰ τὸ Ἡρακλῆς Ἥρυλλος . . . οὕτως καὶ παρὰ τὸ Ἀριστοκλῆς Ἀρίστυλλος . . . Διογένης (διογενιανὸς cod. Aug.) ἀντὶ τοῦ ἄριστος. καὶ Ἀριστοφάνης ἐν Τελμισσοῖς. Bergkius Διογενιανὸς ἀντὶ τοῦ Ἀριστοκλῆς τοῦ Ἀρίστωνος. Diog. L. 3, 4 ἀφ' οὗ καὶ Πλάτων . . . μετωνομάσθη, πρότερον Ἀριστοκλῆς ἀπὸ τοῦ πάππου καλούμενος. unde Bergkius et Meinekius I 287 sq. *Platonem* Aristylli nomine significari existimant. Hesych. emendatus a Meinekio Ἀρίστυλλος· Ἀρίστωνος, ubi cf. M. Schmidt et quae post fr. 578 adnotavimus. atque etiam Ecclesiazusarum (647) et Pluti (314) Aristyllum Platonem interpretantur.

539

Schol. Platon. 331 Bekk. (Ἀριστοφάνης) ἐν Τελμισσεῦσιν εἰς συκοφάντην ἀποσκώπτει (τὸν Χαιρεφῶντα).

540

Hesychius πύλαι· Ἀριστοφάνης Τελμισσεῦσιν ἀπὸ τῶν θυτῶν λέγει. ἐκεῖνοι γὰρ ἐπισκέπτονται τὰς ἐκτροπὰς τοῦ ἥπατος καὶ τὰς φλέβας. Pollux 2, 215 καλεῖται δὲ τοῦ ἥπατος τὸ μέν τι πύλαι, καθ' ἃς ὑποδέχεται τὸ αἷμα. Cic. Nat. d. 2, 137 *ex intestinis autem et alvo . . . sucus is quo alimur permanat ad iecur per quasdam a medio intestino usque ad portas iecoris (sic enim adpellantur) ductas et directas vias.* Dobraeus Advers. II 255 deleto lemmate πύλαι, quod cum ea quae proxime antecedit glossa coniungit, πυλαωρούς dixisse comicum suspicatur, i. e. Telmessenses, pro ἀπὸ scribens ἐπὶ τῶν θυτῶν.

541

σικύα

σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα. ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς . . . Ἀριστοφάνης Τελμισεῦσιν. Harpocrat. scribendum est σιπύη. cf. Eupol. 302.

ΤΡΙΦΑΛΗΣ

Nomen fictum a Φαλῆς (Ach. 263. 276), ut τριγέρων, τρίδουλος al. ea fere significatione, qua Av. 1256 dixit στύομαι τριέμβολον, et recte ab I. G. Schneidero (Aristot. Polit. II 510) com-

paratur cum daemonum nominibus *Κονίσαλος* et *Ὀρθάνης*. ac Varro satirae ita inscripsit: Triphallus *περὶ ἀρρενότητος*.

ingeniosissime ex fr. 554 Suevernius (De Nub. 62 — 65. De *Γήρᾳ* 44) Triphaletem Alcibiadem esse, et ex fr. 549. 550. 1 Fritzschius Ran. p. 232 cum Bergkio (R. c. Att. 343) conlegit Triphaletem Ol. 92, 2 actam esse eo tempore, quo quadringentorum imperio everso Alcibiades in patriam redierat. sane quidem Muellerus Strubingensis, apud quem nominativus casus est *Triphaletes*, p. 117 not. haec omnia se refutaturum esse promisit, sed ubi promisso steterit nescio neque magnopere curo.

542

λάβεσθε· καὶ γάρ ἐσθ' ὁμοῦ.

Schol. Platonis 380 *ὁμοῦ σημαίνει τὸ ἐγγύς . . . Ἀριστοφάνης Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσά φησι κτλ.* cf. Pac. 513. Menand. ap. Harpocr. Phot. Suid. *ὁμοῦ· ἤδη γάρ ἐστι τοῦ (τῷ) τίκτειν ὁμοῦ* (Schol. Apoll. Rhod. 2, 121). mater Triphaletem parturiens adstantes mulieres auxilio vocat. quamquam haec narrata potius quam in scaena repraesentata esse arbitror. refert huc fr. 609 Suevernius.

543

ἔπειθ' ὅσοι παρῆσαν ἐπίσημοι ξένοι
ἐπηκολούθουν κηντιβόλουν προσκείμενοι,
ὅκως ἔχων τὸν παῖδα πωλήσει 'ς Χίον,
ἕτερος δ' ὅκως ἐς Κλαζομενάς, ἕτερος δ' ὅκως
εἰς Ἔφεσον, * * * *
οἱ δ' εἰς Ἄβυδον· ἦν δ' ἐκεῖνα πάνθ' ὁδῷ.

Athenaeus 12, 525 a *Ἀριστοφάνης Τριφάλητι παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων κτλ.* 1. *ἐπίσημοι*] *ἐπίδημοι* Meinek. Anal. Ath. 240. 2. *κηντιβόλουν*] *κήντεβόλουν* Cobet. cf. 38 et N. l. 157. Mnem. nov. II 412. 3. *ὅκως* VL] *ὅπως* A. recte *ὅκως*. loquuntur enim Iones. *ἔχων*] *ἄγων* Toupius Addend. Theocr. 409. *πωλήσει 'ς* (a *πωλέομαι*, non a *πωλῶ*) Casaub.] *πωλήσεις* PVL. 4. *ὅκως* VL] *ὁ κῶς* A bis. lacunam post v. 5 indicavit Bergkius. 5. *εἰς*] *ἐς* Dindorf. 6. *ἐκεῖνα πάνθ' ὁδῷ*] *πάνθ' ὁδῷ* | *ἐκεῖνα* Toupius vitata lacuna. Meinekius in Athen. ed. *ἐς Ἔφεσον, ὁ δ' ἐς Ἄβυδον· ἦν δ' ἐκεῖνα πάνθ'* | *ὁδῷ*. at in exitu versus eliduntur fere *τέ* vel *δέ* et talia. monstra protulit Herwerdenus Nov. add. crit. 18, quo melius vel Iacobsius Addit. Ath. 284 rem gessit. non dubito scribere *ἦν δ' ἐκεῖνα πάνθ' ὁμοῦ*. *ὁδῷ* enim nulla ratione explicari et ne exemplis quidem qualia sunt Plat. Phaedr. 263 b (ubi *ὁδῷ* est *via ac ratione*) aut Reip. 4, 435 a (*καθ' ὁδὸν λέγεις*)

defendi potest. omnia mirum in modum perturbata esse dicit Alcibiadis pueri desiderio, Iones praeter ceteros. eos inridet usus clarissimo Anaxagorae *Clazomenii* (cf. v. 4) dicto, quod ille initio operis Athenis tunc studiose lectitati (Plat. Phaed. 97 b sq.) posuerat *ὁμοῦ πάντα χρήματα ἦν, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα.* sic, inquit poeta, omnis ista Ionum levis multitudo una voluntate Alcibiadem in Asiam venire cupiebat. de *Abydo* cf. Hermipp. 58. cui adiectam fuisse *Κύζικον* conl. Eupol. 233 pro certo habeo. fort. *ἐς Ἔφεσον, ἐς Μίλητον, οἱ δ' ἐς Κύζικον, οἱ δέ γ' ἐς Ἄβυδον.*

544

Schol. Hippocr. Epidem. 5, 7 (Notices et extraits p. 214 sq. Erotian. 19, 10 Klein.) *οὐ γὰρ ὥς τινες ἔφασαν αἱ ὑπογλουτίδες εἰσὶ κοχῶναι, ἀλλὰ τὰ σφαιρωμένα* (*σφαιρώματα* Daremb.) *καλούμενα, σάρκες δ' εἰσὶν αὗται περιφερεῖς, ἐφ' αἷς καθήμεθα, ὡς καὶ Ἀριστοφάνης ὁ κωμικὸς ἐν Τριφάλη(τι)· τίς δ' εἷς ἐγγύτατα ὁ λοιπὸς τὰς ὀσφύας | ἐπὶ τῶν κοχωνῶν ἀργὸς αὐτὸς οὑτοσί;* in ed. pr. (Goett. g. Anz. 1852, 424) *τίς δὲ εἶ ὁ λειποὺς τὰς ὀσφύας κτλ.* Schneidewinus ibid. 425 *τίς δ' ἔσθ' ὁ λίσπος, οὑπιθεὶς τὰς ὀσφύας* (mire pro *ὀσφῦς*) *ἐπὶ τῶν κοχωνῶν, ἀργοναύτης οὑτοσί;* conl. Martial. 3, 67, 10 *non nautas puto vos, sed Argonautas* (i. e. *ἀργοὺς ναύτας, inertes*). multo infelicius Goettlingius Ind. Ien. hib. 1853/4, Darembergius (p. 216), nisi quod hic recte *τῆς ὀσφύος* in extremo v. 1, H. Iacobi (Meinek. V p. CXLVIII). receptis Darembergii Schneidewinique emendationibus scribendum est

τίς δ' ἐστὶν οὑγγὺς κατακλινεὶς τῆς ὀσφύος
ἐπὶ τῶν κοχωνῶν, ἀργοναύτης οὑτοσί;

quis est iste prope coxam (meretricis alicuius scilicet) *in clunibus humi stratus Argonauta?* Alcibiades sine dubio ab exsilio rediens significatur cum *Theodote* meretrice, quam in expeditionibus bellicis secum ducebat. cf. Athen. 12, 535 c. 534 d *Νεμεὰς ἦν καθημένη καὶ ἐπὶ τῶν γονάτων αὐτῆς Ἀλκιβιάδης καλλίων φαινόμενος τῶν γυναικείων προσώπων.*

545

ἔπειτ' ἐπὶ τοὔψον ἦκε τὴν σπυρίδα λαβὼν
καὶ θυλακίσκον καὶ τὸ μέγα βαλλάντιον.

Pollux 10, 151 *βαλλάντια καὶ βαλλαντίδια . . . καὶ θυλακίσκον. Ἀριστοφάνης ἐν Τριφάλητι κτλ. ἐπὶ τοὔψον* est '*ad obsonium emendum*'.

546

καὶ τὴν κυνῆν ἔχειν με κυρβασίαν ἐρεῖς.

Pollux 10, 162 *καὶ κυρβασίαν δὲ Ἀριστοφάνης ἐν Τριφάλητι εἴρηκε κτλ.* videtur Alcibiadis studium Persicae magnificentiae inrideri. Athen. 12, 535e *ἐμιμεῖτο δ' Ἀλκιβιάδης τὸν Παυσανίου μηδισμόν.*

547

ᾔτουν τι τὰς γυναῖκας ἀργυρίδιον.

Pollux 9, 90 *ἐν δὲ τῷ Τριφάλητι Ἀριστοφάνης καὶ ἀργυρίδιον εἴρηκεν κτλ.*

548

ἀλαβαστροθήκας τρεῖς ἔχουσαν ἐκ μιᾶς

Pollux 10, 121 *Ἀριστοφάνης ἐν Τριφάλητι ἀλαβαστροθήκας ἔφη κτλ.* idem 7, 177 *ἀλαβαστροθῆκαι.* Dindorfius *ἀλαβαστοθήκας.* sic enim Attici.

549

ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί.

Photius et Suidas *τῶν τριῶν κακῶν ἕν· λεγόμενόν τί ἐστι . . . ταῦτα δὲ εἶναι λέγουσιν ἃ Θηραμένης ὥρισε προστιμήματα . . . Ἀριστοφάνης Τριφάλητι κτλ.* cf. Polyzel. 1. *ἀπὸ Θηραμένους*, i. e. *Theramenis memor.* egregie Fritzschius Ran. p. 232 illa *tria mala* interpretatus est conl. Thuc. 8, 70 *ἄνδρας τέ τινας ἀπέκτειναν . . . καὶ ἄλλους ἔδησαν, τοὺς δὲ καὶ μετεστήσαντο* (*expulerunt*). pertinent autem haec ad Ol. 92, 1. cf. Lobeck. Aglaoph. 740 adn. a.

550. 551

μανθάνοντες τοὺς Ἴβηρας τοὺς Ἀριστάρχου πάλαι.

* * * *

τοὺς Ἴβηρας, οὓς χορηγεῖς μοι, βοηθῆσαι δρόμῳ.

Stephanus Byz. *Ἰβηρίαι· τὸ ἔθνος Ἴβηρες . . . καὶ Ἀριστοφάνης Τριφάλητι μανθάνοντες — πάλαι, καὶ τοὺς Ἴβηρας κτλ.* Herodian. I 48, 11. cf. Eupol. 43. haec quoque egregie Fritzschius inlustravit (Ran. p. 232) conl. Thuc. 8, 98 *Ἀρίσταρχος δ' . . . (ἔτυχε γὰρ καὶ στρατηγῶν) λαβὼν κατὰ τάχος τοξότας τινὰς τοὺς βαρβαρωτάτους* (i. e. *τοὺς Ἴβηρας*) *ἐχώρει πρὸς τὴν Οἰνόην . . . ἀπατᾷ τοὺς ἐν τῇ Οἰνόῃ λέγων ὡς . . . δεῖ Βοιωτοῖς τὸ χωρίον παραδοῦναι . . . τούτῳ τῷ τρόπῳ Οἰνόην Βοιωτοὶ κατέλαβον.* quod factum est Ol. 92, 2. cf. Thuc. 8, 90. 92. 6, 90. Xen. Hell. 1,

7, 29. 2, 3, 46. Plat. Leg. 1, 637e. ex syntagmate trochaico videntur excerpta esse. versu altero ipse Aristarchus iubetur Iberas adducere.

552

κοὐδὲν ἂν δράσαιμεν ἄτοπον οὐδ' ἂν ἐπιήλαιμεν ἄν.

Schol. Vesp. 1348 *φιαλεῖς· τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος· αὐτὸς γὰρ ἐπίηλεν τάδε ἔργα . . . ἐν δὲ Τριφάλησιν Ἀριστοφάνης κτλ. ἂν δράσαιμεν* K.] *ἄνδρα εἰς. ἂν δράσειας* Bergk. *ἐπιήλαιμεν ἄν* Bergk.] *ἐπιῆλαι μέν.* fortasse praestat *δράσειεν* — *ἐπιήλειεν ἄν.* aut ex epirrhemate aut ex syntagmate trochaico excerpta.

553

Hesychius *Ἑρμῆς τρικέφαλος· Ἀριστοφάνης ἐν Τριφάλητι τοῦτο ἔφη, παίζων κωμικῶς· παρόσον τετρακέφαλος Ἑρμῆς ἐν τῇ τριόδῳ τῇ* (*ἐν* add. Meinek.) *Κεραμεικῷ ἵδρυτο.* Harpocr. *τρικέφαλος . . . τοῦτον δέ φησι Φιλόχορος ἐν γ' Εὐκλείδην ἀναθεῖναι Ἀγκύλησιν.* Photius *Ἑρμῆς τρικέφαλος* (excidit interpretatio). *Ἑρμῆς τετρακέφαλος· ἐν Κεραμεικῷ Τελεσαρχίδου ἔργον.* cf. Eustath. 1553, 7. Photius *τρικέφαλος· ὁ Ἑρμῆς· ὥσπερ διδάσκων τὰς ὁδούς, ποῦ μὲν αὕτη φέρει ἡ ὁδός, ποῦ δὲ ἐκείνη . . . ἔστιν δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὡς Φιλόχορος φησί, Προκλείδης Ἱππάρχου ἐραστής.* Aristophanem dixisse *Ἑρμῆς τετραφάλης* et sic apud Hesychium scribendum esse arbitratur Goettlingius Ind. Ien. hib. 1861/2 p. 5: omnes enim Hermas insignes fuisse veretris erectis (Herodot. 2, 51): itaque comicos dixisse *τριφάλητας* et *τετραφάλητας* pro *τρικεφάλους* et *τετρακεφάλους*. *Telesarchidae* autem Hermam significari ab Hesychio, cum eum in *Ceramico* positum fuisse dicat. inridetur *Mercurii trimentuli* nomine Alcibiades.

554

Hesychius *ἐπὶ Φαληνίου· τὸν Ἀλκιβιάδην φησὶν ὁ Ἀρίσταρχος ἐπὶ Φαληνίου γεγενῆσθαι, σκώπτων παρὰ τὸν φάλητα· ἐπασχητία γάρ.* sic haec ab Alberto et Dindorfio emendata. *Ἀρίσταρχος*] *Ἀριστοφάνης* Pearso. perperam: neque enim Aristarchus qui commemoratur grammaticus est, sed praetor Atheniensis, de quo cf. fr. 550. is igitur, cuius in hac fabula sine dubio, sed fortasse dissimulato nomine, aliquae partes fuerunt, Alcibiadem dixerat archonte *Phalenia* vel *Phaletide* (*Φαλητίδου*) natum esse, tamquam latine dicas C. Peniculo L. Mentula consulibus.

555

Hesychius *Ἰλάων ἥρως· Ποσειδῶνος υἱός, ἀφ' οὗ Ἀριστοφάνης*

ἐν Τριφάλητι ἐλάονας ἔφη τοὺς φάλητας. ὡς ὑπερβάλλοντας τῷ μεγέθει, ὡς εἰ ἔλεγε Τιτυοὺς ἤ τινας τοιούτους. ἄλλοι δὲ θεὸν πριαπώδη φασίν.

556

Harpocratio διὰ μέσου τεῖχος . . . τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τούτων ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ (456a). cf. Bursian. Geogr. gr. I 267. 8. Wachsmuth. Athen. I 328. 9 n. 2.

557

Suidas τοῖς Ἱπποκράτους υἱέσιν . . . οὗτοι ὡς ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο· καὶ τάχ' ἂν ἦσαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς φησὶ καὶ ἐν Τριφάλητι. cf. fr. 112. Eupol. 103.

Ad Triphaletem Dindorfius refert quae Dio Chrysost II 31 dicit ὁ κωμικὸς καὶ τοῦτον ἐκέλευσε κατακαίειν ἐπὶ φαλήτων συκίνων ἑκκαίδεκα. cf. praeterea fr. 609. 907.

ΦΟΙΝΙΣΣΑΙ

Athenaeus 4, 173 d Ἀριστοφάνης ἔφη κτλ. . . . ἐπισκώπτουσι γὰρ . . τοὺς Δελφοὺς ὡς περὶ τὰς θυσίας καὶ τὰς θοίνας διατρίβοντας. cf. Eustath. 1560, 16. ad Aeolosiconem refert Bergkius.

685

διάλεκτον ἔχοντα μέσην πόλεως
οὔτ' ἀστείαν ὑποθηλυτέραν
οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν

Sextus Empir. Adv. grammat 1, 10 p. 264 πολλαὶ γάρ, φασίν (οἱ γραμματικοί), εἰσὶ συνήθειαι, καὶ ἄλλη μὲν Ἀθηναίων, ἄλλη δὲ Λακεδαιμονίων. καὶ πάλιν Ἀθηναίων διαφέρουσα μὲν ἡ παλαιά, ἐξηλλαγμένη δὲ ἡ νῦν. καὶ οὐχ ἡ αὐτὴ μὲν τῶν κατὰ τὴν ἀγροικίαν ἡ αὐτὴ δὲ τῶν ἐν ἄστει διατριβόντων. παρὸ καὶ ὁ κωμικὸς λέγει Ἀριστοφάνης κτλ. non neglegenda dactyli cum anapaesto coniunctio v. 3.

686

τὸν σαπέρδην ἀποτῖλαι χρὴ
κᾆτ' ἐκπλῦναι καὶ διαπλῦναι.

Pollux 6, 49 Ἀριστοφάνης κτλ.

687

χορδαί, φῦσκαι, πασταί, ζωμός,
χόλικες

Pollux 6, 56 πασταὶ δέ εἰσι ζωμὸς ἀλφίτων . . . Ἀριστοφάνης δέ φησι κτλ. fortasse omnia continua scribenda ut pars tetrametri.

688

ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσίν.

Athenaeus 2, 67 d μνημονεύει δέ που (Ἀριστοφάνης) καὶ τοῦ ἐκ Κλεωνῶν ὄξους ὡς διαφόρου· ἐν δὲ κτλ. ὀξίδες Casaub.] ὀξύτιδες VL. ὀξίτιδες B.

689

εἰκοβολοῦντες καὶ πλάττοντες

Pollux 9, 154 Ἀριστοφάνους εἰπόντος κτλ. Bekker. Anecd. 39,

εἰκοβολεῖν· ἀντὶ τοῦ εἰκάζειν. εἴρηται δὲ οἵ τὸ (οἷον? Bekker.) εἰκόσι βάλλειν. '*imaginibus uti.*'

690

ὁ δ' ἔχων θέρμαν καὶ πῦρ ἧκεν.

Pollux 4, 186 θέρμα καὶ πῦρ Ἀριστοφάνης ἔφη κτλ. ἧκεν] εἴρηκεν A. cf. Ruhnk. Tim. 139 sq. Erotian. 106, 2 Klein. πῦρ· τουτέστιν ὁ πυρετός. Ἀττικὴ δὲ ἡ λέξις.

691

δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.

Clemens Alex. Strom. 6, 749 Ἀριστοφάνης ἔφη κτλ.

692

ἀλλ' εἰς ἥρων τι παρήμαρτον.

Schol. Hom. Il. 13, 428 ἥρων τινὲς Ἀττικῶς· ἀλλ' . . . Ἀριστοφάνης. cf. Av. 1484 et 1492. ad Heroes refert Dindorfius.

693

οὐκ ἔσθω κενέβρειον· ὅταν θύσῃς τι, κάλει με.

Erotianus 82, 8 Klein. κενέβρεια· τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται, ὡς καὶ Ἀριστοφάνης κτλ. Schol. Av. 538 κενεβρείων· τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. οὐκ — θύσῃ. ἔσθω Heringa Observat. 165] ἔσθ' ὃ A. ἔσθ' ἵ B. ἔσθ' ὁ C. ἔσθ' ᾧ Schol. Arist. (ἔσται Ald.) θύσῃς Bergk.] θύῃς. κάλει Heringa ante Cobet. Mnem. V 186] καλεῖ. καλεῖν Dindorf. ἔσθω in versu heroico (oraculo fortasse) nihil offensionis habet. exempla attulit Dobraeus Adv. II 257.

694

μή μοι Ἀθηναίους αἰνεῖθ', οἳ μολγοὶ ἔσονται.

Pollux 10, 187 οὐδὲν κωλύει καὶ μολγὸν εἰπεῖν, ὅς ἐστι κατὰ τὴν τῶν Ταραντίνων γλῶτταν βόειος ἀσκός· . . . καὶ Ἀριστοφάνης δὲ χρησμόν τινα παίζει· μή μοι Ἀθηναίους αἰνεῖτ' ἢ (sic. Bekk.) μολγοὶ ἔσονται, τὸ ἄπληστον αὐτῶν ὑπαινιττόμενος. αἰνεῖθ' οἳ μολγοὶ K.] αἰνεῖτε οιμολγοι A, αἰνεῖτε ἀμολγοὶ B. ἀνεῖται μολγοὶ C. Eustathii testimonio 801, 56 fretus Bergkius haec ad Pacem rettulit argumentis parum firmis. cf. fr. 101.

695

ὅστις ἐν ἡδυόσμοις
στρώμασι παννυχίζων
τὴν δέσποιναν ἐρείδεις.

Athenaeus 2, 48c Ἀριστοφάνης κτλ. Eustathius 1570, 5. ad Aeolosiconem propter metri cum fr. 10 similitudinem refert Dindorfius.

696

καὶ σὺ κυρηβιοπῶλα
Εὔκρατες στύππαξ.

Schol. Eq. 254 *Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων· ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερώτερόν φησι κτλ. Εὔκρατες* om. Θ. *στύππαξ* Bergkius] *στύπαξ*. Schol. Eq. 129 *στύππαξ δὲ ἐκαλεῖτο διὰ τὸ στυππειοπώλης εἶναι. στύππαξ* formatum est ut *πλοῦταξ* alia. cf. Lobeck. Pathol. prol. 448. Hesych. *στύππακα· στυππειοπώλην.* de *Eucrate* Eq. 254. Babyloniis attribuit Fritzsch. Bab. 40. 1.

697

τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον
ἀδικομηχάνῳ τέχνῃ;

Bekker. Anecd. 343, 21 *ἀδικομήχανος· Ἀριστοφάνης κτλ. ἐμόλετον* Bekker.] *ἐμόλετε.* sunt dimetri dochmiaci, quorum alterum facile suppleas addito *πιθομένω.*

698

τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν;

Hephaestio 8, 11 *τὸ προκελευσματικὸν ὑπ' ἐνίων καλούμενον, οἷον τὸ τετράμετρον τοῦτο τὸ Ἀριστοφάνειον κτλ. ἐπέσυτο* ES] *ἐπέσσυτο* Flor. et cod. alii. Hephaestio proceleusmaticos pro anapaestis positos interpretatur.

699

ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι
πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ καναβευμάτων.

Bekker. Anecd. 415, 29 et Suidas *ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι· οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης κτλ. λέγει γὰρ διὰ μὲν τοῦ ἀπ' ἀκροφυσίων καινῶς εἰργασμένα καὶ οἷον ἐκ πυρός, διὰ δὲ τοῦ ἀπὸ κινναβευμάτων οἷον καινῶς πεπλασμένα καὶ (καινὴν) διάθεσιν ἔχοντα. κίνναβος γὰρ τὸ εἴδωλον, πρὸς ὃ οἱ πλάσται καὶ οἱ ζωγράφοι βλέποντες διατίθενται πλάττοντες καὶ γράφοντες. κἀπὸ καναβευμάτων* K.] *καὶ τῶν ἀποκινναβευμάτων. κἀπὸ κιναβ.* Brunck. Hesych. *ἀκροφύσια· τὰ ἄκρα τῶν ἀσκῶν, ἐν οἷς οἱ χαλκεῖς τὸ πῦρ ἐκφυσῶσιν.* Photius *κιναβευμάτων· πονηρευμάτων.* Hesych. *κιναβεύματα· πανουργεύματα.* quae unde fluxerint nescio:

nisi forte scribendum est *κιναιδεύματα*. aliud certe est *κανάβευμα*. Hesych. *κάναβοι· τὰ ξύλα, περὶ ἃ τὸ πρῶτον οἱ πλάσται τὸν κηρὸν τιθέασιν. ὅθεν καὶ οἱ λεπτοὶ καὶ ἄσαρκοι κάναβοι λέγονται* (Strattid. 20). atque Photius ipse 139, 15 (non suo loco) *κάναβος· τὸ πρῶτον τιθέμενον ξύλον ὑπὸ τῶν πλαστῶν, περὶ δ' τὸν πηλὸν τιθέντες πλάσσουσιν.* Pollux 7, 164 *περὶ ὃ δὲ οἱ τοὺς πίθους πλάττοντες τὸν πηλὸν περιθέντες πλάττουσι, τοῦτο τὸ ξυλήφιον κάνναβος καλεῖται.* et 10, 80 *τί μὲν δὴ ξύλον ᾧ περιπλάττουσι τὸν πηλὸν οἱ κοροπλάθοι, κάναβος* (sic hic recte) *καλεῖται*. Aristot. Hist. an. 3, 5, 1 *αἱ φλέβες ὥσπερ ἐν τοῖς γραφομένοις κανάβοις τὸ τοῦ σώματος ἔχουσι σχῆμα παντός.* De gener. 2, 6 *ἐκ δὲ τῆς καρδίας αἱ φλέβες διατεταμέναι, καθάπερ οἱ τοὺς κανάβους γράφοντες ἐν τοῖς τοίχοις.* hinc Gallorum *canevas* ortum esse docet Schneider III 138. per simplicem *ν* scribendum esse ex hoc ipso Aristophanis versu cognoscitur. metrum autem est cretico-paeonicum. praedicat (in epirrhemate aliquo opinor) poeta ingenium suum operumque semper novam praestantiam. cf. Nub. 547. pro *πάντ'* scribendum arbitror *καίν'*. cf. grammatici Bekk. verba supra exscripta.

700

Plutarchus Mor. 836e *Ἰσοκράτης Θεοδώρου μὲν ἦν παῖς τοῦ Ἐρχιέως . . . θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ εὐπορήσαντος ἀπὸ τούτων . . . ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπ' Ἀριστοφάνους καὶ Στράττιδος.* 'nempe contumeliose *αὐλοτρύπης* dictitabatur'. Meinek. II 765. Cobet. Observ. crit. 149. Strattid. 3.

701

Athenaeus 2. 41e *κρήνη δ' ἐν Βοιωτίᾳ ἡ Τιλφῶσσα· ἀφ' ἧς Ἀριστοφάνης φησὶ Τειρεσίαν πιόντα διὰ γῆρας οὐχ ὑπομείναντα τὴν ψυχρότητα ἀποθανεῖν.* sine dubio *comicum* dicit. poterat autem hoc commemorari in Phoenissis vel in Amphiarao vel in Polyido. de *Tilphossa* cf. Bursian. Geogr. gr. I 234.

702

Macrobius Saturnal. 3, 8 *apud Calvum Acterianus affirmat legendum 'pollentemque deum Venerem', non deam: signum etiam eius est Cypri barbatum corpore et veste muliebri cum sceptro ac statura virili, et putant eandem marem ac feminam esse: Aristophanes eam Ἀφρόδιτον adpellat.* Servius Vergil. Aen. 2, 632 *est etiam in Cypro simulacrum barbatae Veneris, corpore et veste muliebri, cum sceptro et natura virili, quod Ἀφρόδιτον vocant, cui viri in veste muliebri, mulieres in veste virili sacrificant.* Bekker. Anecd. 472, 24 *Ἀφρόδιτος· ὁ Ἑρμαφρόδιτος. παραπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρθάνης, Πρίαπος.* Hesychius *Ἀφρόδιτος· Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς Παίων*

εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει. cf. Preller. Mythol. gr.[2] I 400.

703

Hesychius *Ἱπποκλείδης· οὕτω κακοσχόλως τὸ τῆς γυναικὸς μόριον Ἀριστοφάνης εἶπεν.* Photius *Ἱπποκλείδην· τὸ γυναικεῖον αἰδοῖον, παρὰ τὸ ἱππεύειν.* *Hippoclidem* ex Hieroclide comice deflexum conicit Fritzsch. Q. Arist. 88 adn. 14.

704

Hesychius *Κλύμενος· ἰατρὸς ἀφυής, ὃν Ἀριστοφάνης φησὶν ἀναμεμῖχθαι τῷ Μορσίμῳ διὰ τὸ καὶ τὸν Μόρσιμον ἰατρὸν εἶναι ἀφυῆ· ἦν δὲ καὶ τραγῳδοποιὸς ἀφυὴς ὁ Μόρσιμος.* videtur per iocum Clymenum et Morsimum tamquam medicamenta commendavisse, quae mixta inter se pro remedio essent. Ran. 944.

705

Hesychius *Σέριφος· Ἀριστοφάνης τὴν Λακεδαίμονα Σέριφον.* Photius *Σέριφον· τὴν Λακεδαίμονα, διὰ τὸ σκληρῶς ζῆν. καὶ χρησμὸς αὐτοῖς ἐξέπεσεν.* vaticinium igitur finxisse videtur quo Lacedaemon Seriphi nomine significaretur.

706

Schol. Lysistr. 1237 *ἀρχή τινος σκολίου· παῖ Τελαμῶνος αἰχμητά. περὶ οὗ δεδήλωται ἤδη.* cum in fabulis superstitibus nulla eius scolii mentio fiat, iure ad deperditam aliquam rettulit Bergkius. cf. Athen. 15, 695c. Theopomp. 64.

707

Pollux 7, 60 *Μασσαλιωτῶν δὲ ὁ χορταῖος (χιτών) . . . τὸν δὲ χορταῖον τοὺς προπώλας φορεῖν ὡς ἀγοραῖον Ἀριστοφάνης ἔφη.* et 7, 12 *ὁ δὲ τοῖς πιπράσκουσι προξενῶν προπράτωρ . . . προπώλην δὲ Ἀριστοφάνης αὐτὸν εἶπε.* dubium est unum an duo haec sint fragmenta.

708

ἀκύμων θάλασσα

Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἀγόνου. ὡσαύτως καὶ Ἀριστοφάνης. Bekker. Anecd. 6, 1.

709

ἀλφίτων μελάνων ἄδδιχα

Eustathius 1854, 12 *ἦν δὲ καὶ ἄδδιξ μέτρον τι, φασί, τετραχοίνικον. Ἀριστοφάνης.* Bekker. Anecd. 342, 26, Photius, Hesychius *ἄδδιξ· μέτρον*

τετραχοίνικον. οὕτως Ἀριστοφάνης. Hesychius *κάδδιχον· ἡμίεκτον. ἢ μέτρον.* cf. Gregor. Cor. 292. Lobeck. Pathol. el. 108 n. 20. *ἄλφιτα μέλανα* nulla sunt. scribendum *ἀλφίτων δὲ λαβὼν ἄδδιχα.*

710

ἀμεταχειρίστων τῶν κοινῶν

Ἀριστοφάνης εἶπεν. Pollux 2, 150. at Bekker. Anecd. 23, 27 *ἀμεταχείριστα· τὰ καινά, ἃ οὐδεὶς ἂν μεταχειρίσαιτο.* itaque *καινῶν* scribendum est, quod interpretamentum vocis *ἀμεταχείριστα* esse arbitror.

711

ἄνδρα σάρκινον

Ἀριστοφάνης εἴρηκεν. Pollux 2, 233. i. e. *πολύσαρκον.*

712

ἀπόμακτρ' ἀπεσκοτωμένα

Suidas *ἀπεσκοτωμένα· ἐσκιαγραφημένα, κεχρωσμένα· τὰς γὰρ χρίσεις σκότη καλοῦσι ζωγράφοι· οὕτως Ἀριστοφάνης.* et *ἐσκιοτροφημένα· Ἀριστοφάνης ἀπόμακτρα σκυτάλων ἐσκιοτροφημένα* (scr. *ἐσκιογραφημένα*), Bekker. Anecd. 431, 26 et Suid. *ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δ' ἐσκιοτροφημένα* (Dindorfius *ἀπόμακτρα· σκύταλα. ἀπεσκοτωμένα δέ· ἐσκιαγραφημένα*). cf. Hesych. *ἀπεσκοτωμένα· ἐσκιαγραφημένα. τὰς γὰρ χρίσεις (χρώσεις?) σκότους καλοῦσιν οἱ ζωγράφοι.* Eustath. 953, 53. sunt '*imagines adumbratae*'.

713

αὐτὸς λέγει

ἀντὶ τοῦ ὁ δεσπότης . . . Ἀριστοφάνης. Bekker. Anecd. 78, 29. cf. fr. 268.

714

ἀφαίρει τρίχας

ὁ Ἀριστοφάνης φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος. Bekker. Anecd. 4, 30. cf. fr. 410. 657. scribendum cum Bergkio *ἀφαιρεῖ.*

715

γερόντειαι παλαῖστραι

παρὰ Ἀριστοφάνει. Pollux 2, 13. *παρ' Ἀριστοφάνει*, non *παρ' Ἀντιφάνει* Bekkerus.

716

Δαυλίαν κορώνην

ἀντὶ τοῦ ἀηδόνα, Ἀριστοφάνης διὰ τὸν μῦθον. ἔνιοι τὴν δα-

σεῖαν. Etym. m. 250, 8 et sine auctoris nomine Hesychius. fabulam dicit quae est de Philomela, Procne, Tereo.

717

ἔξαινε (δὲ) τῶν ἐρίων

Ἀριστοφάνης ἔφη. Pollux 7, 30.

718

ἰξοί, ῥυποκόνδυλοι

Bekker. Anecd. 43, 33 *ἰξοὶ ἐπὶ τῶν γλίσχρων καὶ φειδωλῶν, ὅτι καὶ ὁ ἰξὸς γλίσχρος ἐστί. λέγει δ' Ἀριστοφάνης οὕτως ἰξ. ῥ. ὅπερ σημαίνει τοὺς γλίσχρους καὶ διὰ τὴν φειδωλίαν μήτε λουομένους μήτε νιζομένους* (scr. *κτενιζομένους*). fr. 603. cf. Moer. 201 Piers. Bekker. 474, 21 et Suidas *ἄχθομαι· τὸν ῥύπον ἐπὶ τῶν γλίσχρων καὶ ἀνελευθέρων ἐτίθεσαν. οὕτω γοῦν ῥυποκονδύλους λέγουσι τοὺς τοιούτους.* vox iam usitata erat Hipponacti et Archilocho. Eustath. 1828, 11. cf. Plat. 124.

719

καλαμίνην σύριγγα

εἴρηκεν Ἀριστοφάνης. Pollux 4, 67.

720

κάμινον βαλανείου

ὁ αὐτὸς (Ἀριστοφάνης) φησί. Pollux 7, 166.

721

καὶ ἐπιπακτοῦν τὰς θύρας

Ἀριστοφάνης. Pollux 10, 27. antea attulit Pollux Lysistr. 265.

722

κνημιοπαχὲς ξύλον

Photius *κνημία· τὰ ἐν τοῖς θρόνοις καὶ τροχοῖς διερείσματα. καὶ πληγαὶ ἐν κνήμαις. καὶ τὸ κν. ξ., ὡς Ἀριστοφάνης. κνημοπαχὲς ξ.* Lobeck. Phryn. 535.

723

λεπρᾶν κεράμιον ὀξηρόν

ἀντὶ τοῦ μυδᾶν Ἀριστοφάνης λέγει. Pollux 7, 162. 7, 161 *κεράμιον οἰνηρὸν . . Κρατῖνος, Ἀριστοφάνης δὲ καὶ ὀξηρόν.*

724

μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν.

Hesychius *ἀφορμή· ἡ νῦν ἐνθήκη λεγομένη. Ἀριστοφάνης μέλλει κτλ. ἢ πρόφασις, ἢ αἰτία.* Suidas *ἀφορμή· ἰδίως παρὰ τοῖς Ἀττικοῖς, ὅταν τις ἀργύριον δώσει ἐνθήκην.* Phryn. Ecl. 223 *τὸ ἐνθήκη, ὡς οἱ πολλοὶ λέγουσιν, ἄτοπον. ἀφορμὴν γὰρ λέγουσιν οἱ ἀρχαῖοι.* Bekker. Anecd. 472, 6 *ἀφορμή· ἰδίως παρὰ Ἀττικοῖς ἡ πάροδος* (?) *λέγεται, ἣν νῦν πολλοὶ πρόχρειαν καὶ ἐνθήκην λέγουσι . . . ἢ ὅταν τις ἀργύριον δώσῃ ἐνθήκην.* cf. Harpocr. *ἀφορμή.* Demosth. 36, 11 *ἣν ἰδίᾳ τις ἀφορμὴ τούτῳ πρὸς τῇ τραπέζῃ.* 36, 44 *πίστις ἀφορμὴ πασῶν ἐστι μεγίστη πρὸς χρηματισμόν.* de poetae verbis non constat. Dindorfius deleto articulo *τούς* 'speciem metri' oriri arbitratur.

725

Hesychius (Herodian. II 550, 8) *μεσαύχενες· Ἀριστοφάνης φησὶ μεσαύχενας νέκυας ἀσώτους· διὰ τοῦ μ γραπτέον μεσαύχενας· ὅτι μέσον αὐχένα αὐτοῦ πεξεῖ παρεβάλλοντο τὸ σχοινίον· τραγῳδεῖ δὲ τὰ ἐν τῷ Φιλοξένου Σύρῳ* (*Σατύρῳ* Bergk. Poet. lyr. Philox. 12, *Σισύφῳ* vel *Σκίρῳ* Berglein). *ἔνιοι δὲ διὰ τοῦ δ γράφουσι δεσαύχενες, καὶ οὐ καλῶς.* idem *μεσσαύχενες· οἱ ἀπὸ μέσου τοῦ αὐχένος δεσμευόμενοι.* Photius *μεσαύχενες· οἱ ἀσκοὶ ἢ δεσαύχενες.* cf. Hesych. *δεσαύχενες.* Pollux 2, 135 *βυσαύχην ὁ τοὺς μὲν ὤμους ἀνέλκων, τὸν δὲ αὐχένα συνέλκων . . . βυσαύχενας τοὺς ἀσκοὺς Ἀριστοφάνης κέκληκεν.* ac similiter Hesych. *βυσαύχην.* Hesychius *ὁ βρισαύχην· ὁ τὴν* (sic) *αὐχένα βαρῶν.* in Hesychii quae supra primo loco legitur glossa Dobraeus (Phot. Lips. p. 644) *Ἀριστοφάνης φησὶ μεσαύχενας νέκυας· τοὺς ἀσκούς· διὰ τοῦ μ̄ γραπτέον. μεσαύχενες, ὅτι μέσον τὸν αὐχένα αὐτῶν περιεβάλλοντο σχοινίον· παρῳδεῖ δὲ κτλ.* 'nempe Philoxeni phrasin de suspensis per collum cadaveribus ad utres per iocum transtulit.' Adv. II 259. Bergkius *μεσαύχενας νέκυας ἀσκούς* et postea *αὐχένα ἀσκοῦ πιέζει ὃ περιεβάλλοντο σχοινίον.* M. Schmidtius *μεσαύχενας νέκυας·* [*ασ*] *οὕτως διὰ τοῦ μ γραπτέον.* Heckerus Philol. V 510 *μεσαύχενας κυνέας· τοὺς ἀσκούς· διὰ τοῦ μ̄ γραπτέον μεσαύχενας, ὅτι μέσον αὐχένα ἀσκοῦ πιέζει τὸ σχοινίον. παρῳδεῖ δὲ τὰ τοῦ Φιλοξένου διασύρων.* Nauckius Allg. Litz. 1848 p. 518 *μεσαύχενας* etiam Polluci reddit, *βυσαύχενας* ex eo quod proxime praecedit *βυσαύχην* ortum esse ratus. iam antiquitus igitur scriptura dubia fuit. cf. utique Bergk. Philox. 12.

726

ὁ πίττομαι

οὐ πείθομαι. καὶ τοῦτο Βοιώτιον. Ἀριστοφάνης Ἐκκλησιαζούσαις. Photius. *ὁ πίττομαι* Bergk.] *ὁπλίττομαι.* cum in Ecclesiazusis

non magis inveniatur quam in ulla alia superstite fabula, aliunde petitum est.

727

πάγκυφος ἐλαία

Ἀριστοφάνης. Pollux 6, 163 (*ἐλάα*). Hesychius *ἀστὴ ἐλαία· ἡ ἐν ἀκροπόλει ἡ καλουμένη πάγκυφος διὰ χθαμαλότητα.* Pollux 9, 17 *ἡ δὲ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε τῆς ἐν πόλει* (i. e. *ἀκροπόλει*). Hesych. *πάγκυφος· ἐλαίας εἶδός τι κατακεκυφὸς καὶ ταπεινὸν ἐν τῇ ἀκροπόλει.* Photius *πάγκυφος· ἡ κατακεκαμμένη.*

728

στήμονα δὲ ἐξεσμένον

τὸν ἰσχνὸν καὶ λεῖον Ἀριστοφάνης λέγει. Pollux 7, 32.

729

συστάδας ἀμπέλους

Pollux 6, 159 *ὁ δ' αὐτὸς* (*Ἀριστοφάνης*) *καὶ συγκοίτας εἴρηκε καὶ σ. ἀμπ.* idem 7, 146 *ζυγὰς μὲν καὶ συστὰς ἡ ἀμπελόφυτος γῆ, εἰ μὴ κατὰ στοῖχον εἴη πεφυτευμένη, στοιχὰς δὲ ἡ κατὰ στοῖχον.* Hesych. *παστάδες* (*παρστάδες* M. Schmidt.) . . *καὶ τῶν ἀμπέλων αἱ συστάδες.* Photius *ξυστας* . . *καὶ γῆ ἀμπελοφόρος.* Hesych. *ξυστάδες· αἱ πυκναὶ ἄμπελοι. ἄμεινον δὲ τὰς εἰκῇ καὶ μὴ κατὰ στοῖχον πεφυτευμένας ἀκούειν.* cf. etiam Lobeck. Paral. 79. Ahrens. Dial. II 73. 4. Schneider. Aristot. Pol. 7, 10, 5.

730

τρήμας ἔχει

Etymol. m. 726, 53 *στειλειά· τὸ τρῆμα τοῦ πελέκεως, δι' οὗ τὸ στελεὸν ἐνείρεται, ἣν τρήμην Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης τρ. ἔχ.*

731

ὑποζυγιῶδες πρᾶγμα

Etymol. m. 782, 22, Photius, Suidas *ὑποζυγιώδης ἄνθρωπος· ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ προθυμίας τι πράττων, ἀλλ' ἐκ τῆς ἑτέρων κελεύσεως, ὥσπερ καὶ τὰ ὑποζύγια. εἴποις δ' ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.* Aristophanis exemplum omittitur Bekker. Anecd. 67, 12.

732

φιλοκηδῆ λόγον

Ἀριστοφάνης. Pollux 6, 167.

733

Ἀβυδοκόμην

Zenobius 1, 1 *Ἀβυδηνὸν ἐπιφόρημα . . . εἴρηται δὲ ἡ παροιμία καὶ ἀπὸ τοῦ ὑπ' αὐτῶν (Ἀβυδηνῶν) συκοφαντεῖσθαι τοὺς ξένους. ἔνθεν Ἀριστοφάνης τὸν συκοφάντην Ἀβυδοκόμην εἶπεν. Ἀβυδοκόμην* Dindorf.] *Ἀβυδηνοκώμην. Ἀβυδηνοκόμον* B. *Ἀβυδηνοκῶμον* Zenob. Milleri (Mélanges 356). Bekker. Anecd. 215, 6 et 322, 31 *Ἀβυδοκόμης ὁ ἐπὶ τῷ συκοφαντεῖν κομῶν· τοιοῦτοι γὰρ οἱ Ἀβυδηνοί.* cf. Hesych. *Ἀβυδοκόμας.* Eustath. 357, 1. Hermipp. 58.

734

ἄγλωττον

Ἀριστοφάνης τὸν εἰπεῖν ἀδύνατον ἔφη. Pollux 2, 108.

735

ἄγυνον

τὸν ἀγύνην Ἀριστοφάνης. Pollux 3, 48. Lob. Phryn. 185.

736

ἀδηφάγοι

ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς Ἀριστοφάνης. Photius. fortasse ad Anagyrum pertinet.

737

Ἀδώνιον

Bekker. Anecd. 346, 1 *Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.* cf. Cratin. 376. Pherecr. 198.

738

ἀείταν

τὸν ἑταῖρον. Ἀριστοφάνης δὲ τὸν ἐρώμενον. Bekker. Anecd. 348, 2. *ἀείταν*] *αἴταν* Dindorf. cf. Becker. Charikl.[2] II 222. 3.

739

ἀθλοθετία

Pollux 3, 140 *ἀθλοθεσία, ἢ ὡς Ἀριστοφάνης ἀθλοθετία. ἀθλοθεσία* est actio, *ἀθλοθετία* munus *τοῦ ἀθλοθέτου.* cf. fr. 746. Lobeck. Phryn. 510.

740

ἀλειφόβιον

(cod. *ἀλειφοίβιον*)· *τὸν περὶ παλαίστραν ἀναστρεφόμενον καὶ*

ὑπηρετοῦντα. οὕτως Ἀριστοφάνης. Bekker. Anecd. 382, 17. Hesychius ἀλειφοβίους· πένητας.

741

ἀλουργιαῖον

ἀντὶ τοῦ ἀλουργές. οὕτως Ἀριστοφάνης. Bekker. Anecd. 380, 14. cf. Lobeck. Phryn. 185. Suidas *Antiphani* tribuit, testis in his rebus nequaquam locupletissimus. potuit etiam uterque eadem voce uti. fortasse scribendum ἀλουργίδιον. ἀλουργίδα Eq. 967.

742

ἀναβιών

ἀντὶ τοῦ ἀναβιώσας. Πλάτων Σκευαῖς . . . καὶ Ἀριστοφάνης. Harpocration. 35 not. 21 Bekkeri. cf. Plat. 131, ubi Meinekius ἀναβιῶν' ἐκ τῆς νόσου. ac sic iam Pierson. Moerid. 20. Aristophanis mentionem Meinekius (etiam V 71) ad Ran. 177 referebat. veri similius est etiam Aristophanem infinitivo ante vocalem eliso usum esse.

743

ἀνασηκῶσαι

ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες. οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης. Suidas. Etym. m. 100, 11 ἀνασηκοῦν· τὸ προστιθέναι τὸ ἐλλιπές, ut lances ad aequilibrium statuantur. Bekker. Anecd. 19, 29 ἀνασηκῶσαι· τὸ ἀντιθεῖναι καὶ ἀντιστῆσαι, qui ἀντισηκῶσαι potius interpretari videtur. ad *grammaticum* sine idonea causa referebat Gaisfordus.

744

ἀνδρίζεσθαι

Ἀριστοφάνης εἶπεν. Pollux 2, 20. idem etiam ἀνδροῦσθαι Aristophani tribuere videtur. Bekker. Anecd. 394, 28 ἀνδρωθεῖσα· ἀνδρὶ συνοικήσασα, διακορηθεῖσα.

745

ἀνεψιαδοῖ

Ἀριστοφάνης. Bekker. Anecd. 401, 18. cod. ἀνεψιάδαι, Bekkerus ἀνεψιαδαῖ.

746

ἀνοητία

ὡς Ἀριστοφάνης. Pollux 2, 228. Bekker. Anecd. 21, 20 ἀνοητία ὡς νουθετία, μοιχολῃπτία, φιλοποτία, λυχνοκαυτία, ἀκρατία. ibid. 406, 16 ἀνοηστίαν· τὴν ἄνοιαν. Ἀριστοφάνης. cf. fr. 739 et Lobeck. Phryn. 506.

747

ἀπαίροντες

μεθιστάμενοι, οὕτως Ἀριστοφάνης. Zonaras I 258. Bekker. Anecd. 6, 16 *ἀπαίρειν· τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.*

748

ἀρτοστροφεῖν

Ἀριστοφάνης λέγει. Pollux 7, 22.

749

ἀσπάλαθος

ἀκανθῶδες φυτόν. Ἀριστοφάνης ἀρσενικῶς. Bekker. Anecd. 10, 9. cf. Pherecr. 109.

750

αὐόμενος

Bekker. Anecd. 13, 19 *αὔεσθαι καὶ πῦρ ἐναύεσθαι. Ἀριστοφάνης αὐόμενος, Κρατῖνος* (409) *ἐναύεσθαι.*

751

ἀψευδοῦντες

Ἀριστοφάνης. Bekker. Anecd. 13, 28.

752

βαρβιτίζειν

ὡς Ἀριστοφάνης. Pollux 4, 63.

753

βαρύφωνος

Ἀριστοφάνης . . . εἴρηκε. Pollux 4, 64. cf. fr. 644.

754

ἡ βάτος

θηλυκῶς λέγεται . . . παρὰ δὲ τῷ Ἀριστοφάνει ἀρσενικῶς λέγεται. Schol. Theocr. 1, 130.

755

βελέκκων

Etym. m. 194, 31 *βέλεκοι· ὄσπρια. καὶ τῶν βελέκκων Ἀριστοφάνης.* Hesych. *βέλεκυς* (cod. *βέλλεκυς*) *· ὄσπριόν τι ἐμφερὲς λαθύρῳ μέγεθος ἐρεβίνθου ἔχον.* Suidas (deest in ABV) *βέλεκος· ὄσπριον. ἔοικε τοῖς λαθύροις.* Zonar. I 383. Boisson. Anecd. III 222, 400.

Schneider. Theophr. III 689. Lobeck. Pathol. prol. 319. 20. ad emendandum Eccl. 596 uti volebat Dindorfius.

756

βιβλιδάριον

παρὰ Ἀριστοφάνει. Pollux 7, 210. *βιβλάριον* A. scrib. *βυβλιδάριον.*

757

βλέπησιν

Pollux 2, 56 *Ἀριστοφάνης δὲ καὶ βλέπος που λέγει* (Nub. 1176) *καὶ βλέπησιν.* cf. Bergk. II 1215. Dindorf. Poet. scen. noviss. n. 597. si corrupta videtur vox, emendanda est, non exterminanda.

758

βοηλατεῖν

Ἀριστοφάνης καὶ ὀνηλατεῖν εἶπε. Pollux 7, 187.

759

βούκλεψ

παρ' Ἀριστοφάνει. Cramer. Anecd. Ox. I 269, 9 (*βοόκλεψ*). Herodian. I 246, 23. cf. *δράψ* 768, *χοιρόθλιψ* Vesp. 1364, *ἀστύτριψ, οἰκότριψ* (Thesm. 426), *πελεθόβαψ* Hesych. — at Athenaeus 9, 409c *βοόκλεψ, παρὰ Σοφοκλεῖ Ἑρμῆς.* Horat. Carm. 1, 10, 9. potest uterque poeta eadem voce usus esse, ac Sophocles quidem fortasse in fabula satyrica. cf. Pac. 180sq. 362. Plut. 1100sq.

760

βοῦς (nom. pl.)

Thomas Mag. 55, 11 *λέγε δὲ ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀριστοφάνης κἂν ἀναγκασθεὶς ἅπαξ βοῦς εἶπεν.*

761

βωλοκοπεῖν

Ἀριστοφάνης εἴρηκε. Pollux 7, 141.

762

γεῖσα

Ἀριστοφάνης καὶ τὰς ὤας τοῦ ἱματίου εἶπε. Etym. m. 229, 4. Bekker. Anecd. 231, 2 *Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου γείσας* (scr. *γεῖσα*) *εἶπε.* Hesych. *γεῖσα . . . καὶ τὰς ὤας τοῦ ἐνδύματος γείσας λέγουσιν.*

763

γέρρα

καὶ Ἀριστοφάνης ὡς ἐπὶ φυλακῆς τινος καὶ μοχλοῦ τροπικῶς παρέλαβε τὴν λέξιν. Schol. Luciani 220 Iacob. et Osann. Auctar. lex. 47. Pherecr. 17. Eupol. 405.

764

δαφνοπώλην

τὸν Ἀπόλλωνα λέγουσιν, ὡς Ἀριστοφάνης. Hesych. — *δαφνίτην* Syracusani.

765

διαβάτην

Ἀριστοφάνης. Pollux 2, 200. non *τὸν διαβήτην*, sed *traiectorem* dici docet Dindorfius in Thes. *διαβάτης*. Hesych. *διαβάτης· ὄργανόν τι τεκτονικόν.*

766

διετησίως

ἀντὶ τοῦ δι' ἔτους, οἷον καθ' ἕκαστον ἔτος. Θουκυδίδης καὶ Ἀριστοφάνης. Bekker. Anecd. 35, 30.

767

δράκαιναν

τὴν μάστιγα, τὴν ὑστριχίδα ὁ Ἀριστοφάνης. Hesychius. *τὸν* bis cod., iam pridem correctum.

768

δράψ

Grammat. Hermanni p. 436, Cramer. Anecd. Ox. III 286, 15 *ἐν δὲ μονοσυλλάβοις τὸ δράψ ἐκτείνεται (ᾱ) κείμενον παρ' Ἀριστοφάνει.* Herodian. I 404, 13 *τὰ εἰς ψ μονοσύλλαβα ὀξύνεται . . . δράψ κείμενον παρ' Ἀριστοφάνει.* cf. II 10, 2. 'e *δράπων* sive *δραπέτης* coactum cumque *δρώπτης ἀλήτης* Hesych. cognatum videtur.' Lobeck. Paral. 112. Dobr. Adv. II 258.

769

δυάκις καὶ τριάκις

παρὰ Ἀριστοφάνει. Bekker. Anecd. 942, 22. Hesych. *τριάκις ἀντὶ τοῦ τρίς. Λάκωνες.*

770. 771

ἐγχειρητής, ἐγχείρησις

Ἀριστοφάνης. Pollux 2, 154.

772

ἐμπεδορκεῖν

εὐορκεῖν. παίζει δὲ Ἀριστοφάνης παρὰ τὰς πέδας. Hesychius.

773

ἐπιπταίσματα

Pollux 2, 199 *τὰ δὲ ὑπὲρ τοὺς δακτύλους κρούματα πταίσματα· Ἀριστοφάνης δὲ καὶ ἐπιπταίσματα αὐτὰ καλεῖ.* Hesych. *ἐπίπαιμα· ἐπίπταισμα, πρόσκομμα,* ubi Ruhnkenius eiecto *ἐπίπαιμα* lemma esse *ἐπίπταισμα* statuit.

774

ἐπιφορήματα

τὰ ἐπιδορπίσματα Ἀριστοφάνης καλεῖ. Pollux 6, 79.

775

ἐπροξένει

Cramer. Anecd. Paris. IIII 114, 12 *Εὐριπίδης ἐπροξένει καὶ Ἀριστοφάνης.* videntur hac forma usi esse ut *πρόξενος ἦν* discernerent a *προὐξένει* (*praebebat*).

776

ἑστιοῦχον

Pollux 6, 11 *εἴποις δ' ἂν τὸν ἑστιάτορα καὶ ἑστιοῦχον κατ' Ἀριστοφάνην.* nam prorsus alia est vocabuli significatio Av. 866.

777

ἐσχαρίδα

Pollux 10, 101 *Ἀριστοφάνους εἰπόντος . . . καί που καὶ ἐσχαρίδα.*

778

ἑτερεγκεφαλᾶν

ὡς Ἀριστοφάνης, τὸ παραφρονεῖν. Pollux 2, 42. Hesych. *ἑτερεγκεφαλᾶν· παραφρονεῖν.* Bekker. Anecd. 37, 18 *ἑτερεγκεφαλεῖν· τὸ ἐγκέφαλον ἕτερον καὶ μὴ τὸν κατὰ φύσιν ἔχειν. ἢ ἐπειδὴ ὁ ἐγκέφαλος διμερής ἐστιν . . . τὸ μὴ ὁλόκληρον ἔχειν τὸν ἐγκέφαλον, ἀλλὰ τὸ ἥμισυ.*

779

ἐτνήρυσις

ἔπαιξεν Ἀριστοφάνης ἀντὶ τοῦ φάναι τὴν σανίδα τὴν ἐτνήρυσιν εἰπών, παρὰ τὸ ἔτνος. Hesychius. cf. Bekker. Anecd. 39, 15. 55, 7. *σανίδα*] *ἀμίδα* (*ἀμ.*) Naekius Mus. Rhen. III 497. Opusc. I 360 sq.

conl. Thesm. 633. fr. 269. sed cf. Dindorf. Thes. 2158b et M. Schmidt in Hesych. — Ach. 245 significari non potest.

780

εὔειλος

(cod. *εὔηλος*) *εὐήλιος. Ἀριστοφάνης.* Photius. Hesych. *εὔελον· εὐήλιον.*

781

εὐζωρότερον

Phrynich. Ecl. 145 *σὺ δὲ λέγε· εὔζωρον κέρασον καὶ εὐζωρότερον, ὡς Ἀριστοφάνης καὶ Κρατῖνος καὶ Εὔπολις.* ad Eccl. 227 refert Dindorfius. videtur tamen alius versus significari.

782

εὐθετῆσαι

κοσμῆσαι, συνθεῖναι. οὕτως Ἀριστοφάνης. Suidas. omisso poetae nomine Photius 31, 15. Bekker. Anecd. 40, 22 *εὐθετεῖν νεκρὸν τὸ εὖ κοσμεῖν ἐν τάφοις.* Pollux 2, 31 *εὐθετῆσαι ἔλεγον τὰς τρίχας.*

783

εὐκόπως

παρ' Ἀριστοφάνει. Pollux 9, 162.

784

ἡμιφωσώνιον

Ἀριστοφάνης. Pollux 6, 161. cf. Cratin. 250.

785

ἢ πόθεν

ἀμόθεν. οὕτως Ἀριστοφάνης. Photius. Ruhnkenius *ἀμόθεν· ποθέν.* Meinekius *ἤ ποθέν· ἀμόθεν.* dubitat utrum *comicus* dicatur an *grammaticus* Nauckius Aristoph. Byz. fragm. p. 231. comicum intellegendum esse, quod scholiastae Hom. Od. 1, 10 *λέξιν τῶν Ἀττικῶν* esse tradant, Dindorfius docet Poet. scen. nov. 580 p. 227.

786. 787

θεοποιούς, θεοπλάστας

τοὺς ἐπὶ τοῖς ἀγάλμασι χειροτέχνας, ὡς Ἀριστοφάνης. Pollux 1, 12.

788

θερίστριαν

καὶ φρυγανίστριαν Ἀριστοφάνης. Pollux 7, 150.

789

θυλακοφορεῖν

τοὺς μεταλλέας Ἀριστοφάνης ἔφη. Pollux 7, 100. idem 10, 149 *θυλακοφορεῖν μὲν τοὺς μεταλλέας οἱ κωμῳδοὶ λέγουσι.* Hesych. *θυλακοφόροι· οἱ μεταλλεῖς, θυλάκοις περιφέροντες τὰ ἀρώματα* (*ὀρύγματα* Meinek.). Photius *θυλακοφόροι· οἱ μεταλλεύοντες, ὅτι θυλάκους ἐφόρουν.*

790

θυμάγροικος

κωμικώτερον ὁ Ἀριστοφάνης. Pollux 6, 125.

791

κάνδυτος

σκευασία ὀψοποιικὴ μετὰ γάλακτος καὶ στέατος καὶ μέλιτος. ἔνιοι δὲ διὰ κρέως καὶ ἄρτου καὶ τυροῦ. οὕτως Ἀριστοφάνης. Photius. Hesych. *κάνδυλος· διὰ λαγῴων καὶ γάλακτος καὶ τυροῦ καὶ μέλιτος πέμμα ἐδώδιμον. λαγῴων* Meinek. Philol. XII 613] *λαγαῶν* cod. — Etym. m. 488, 53 *κανδύλη.* Athen. 12, 516cd *καὶ κάνδαυλον δέ τινα ἔλεγον οἱ Λυδοί, οὐχ ἕνα, ἀλλὰ τρεῖς . . . γίνεσθαι δ' αὐτόν . . . ἐξ ἑφθοῦ κρέως καὶ κνηστοῦ ἄρτου καὶ Φρυγίου τυροῦ ἀνήθου τε καὶ ζωμοῦ πίονος.* Alexid. 167. grammaticum malit intellegere Dindorf. Schol. Pac. 123. etiam comicus facile ea voce uti poterat.

792

καρηβαριᾶν

τὸ ὑπὸ μέθης τοῦτο πάσχειν Ἀριστοφάνης. Pollux 2, 41.

793

καταχυτρίσαι

ἔλεγον τὸ βλάψαι ὡς ἑτέρωθι Ἀριστοφάνης. Schol. Ald. Vesp. 289. Suidas *ἐγχυτρίστριαι.* cf. Etymol. m. 313, 42 et Schol. Platon. 336 Bekk. *ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης.* ubique *θάψαι* pro *βλάψαι* Lobeck. Agl. 632 conl. Steph. Byz. *Ἥραια . . . ὀρύξαντες τάφους χύτρας εὗρον καὶ ὀστᾶ.*

794

καχύποπτος

ὡς Ἀριστοφάνης. Pollux 2, 57.

795

κελέοντες

οἱ ἱστόποδες. ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ. Harpocration. cf. Phot. 153, 21. 24. Theocrit. 18, 34. Schneider. Ind. Script. R. r. *tela.*

796

κλέος

τὴν φαύλην δόξαν Ἀριστοφάνης. Photius.

797

κοινοθυλακεῖν

τὸ ἐν ὁδῷ κοινωνεῖν σιτίων καὶ τραπέζης καὶ καταγωγῆς καὶ τῶν τοιῶνδε. Ἀριστοφάνης. Bekker. Anecd. 47, 7.

798

κρᾶστις

. . . *ἡ πόα, ὡς καὶ Ἀριστοφάνης.* Harpocration. Bekker. Anecd. 273, 28 *κράστις· ὁ χόρτος ὁ ἡμίξηρος· ὅθεν καὶ τὰ ζῷα κραστίζεσθαί φασιν, οἷον ἐμφορεῖσθαι τοιούτου χόρτου.* de accentu cf. Dindorf. Thes. 1920.

799

κρεοστάθμης

μέμνηται Ἀριστοφάνης. Pollux 6, 91. ut *γηροβοσκεῖν, κεροβάτης, κρεοφαγεῖν.* Lobeck. Phryn. 692 sq.

800

κυνοσουρίδες

οἱ ἀπὸ ἀλωπέκων καὶ κυνῶν τικτόμενοι παῖδες. Cramer. Anecd. Ox. II 452, 19, ubi margo cod. χ (i. e. *χρῆσις*) *Ἀριστοφάνους.* Lobeck. Pathol. prol. 461. cod. *κυνοστουρίδες.*

801

κωλήν

Photius *κωλήν λεκτέον, οὐχὶ ἀκροκώλιον, οὐδὲ κωλεόν. οὕτως Ἀριστοφάνης.* diversum a *κωλῆ* Nub. 1018. cf. Eupol. 47. comicum dicere videtur.

802

Κωπαῖοι

σφῆκες. οὕτως Ἀριστοφάνης. Photius. nomen a lacu Copaide ductum.

803

λάλησις

Pollux 2, 125 *τὸ καταλαλεῖν παρὰ Ἀριστοφάνει, καὶ ὁμοίως ἡ λάλησις.*

804

λεγωνῆσαι

ἀντὶ τοῦ παῖσαι. οὕτως Ἀριστοφάνης. Photius. lemma manifesto corruptum. L. Dindorfius in Thes. confert Hesych. λετωνῆσαι· ἀφειδῶς παῖσαι κατὰ τῶν ἰσχίων, ubi λαγονίσαι (ut πυγίζειν) scribendum censet. M. Schmidtius Hesych. μοττωνῆσαι· τῇ πτέρνῃ τύψαι comparat, quo nihil proficitur.

805

λεκανίσκην

Ἀριστοφάνης. Pollux 6, 86. Photius 213, 14 λεκάνιον δὲ καὶ λεκανίδα ἀγγεῖα ὦτα ἔχοντα πρὸς ὑποδοχὴν ὄψων καὶ τοιούτων τινῶν. οὕτως Ἀριστοφάνης. ac λεκάνιον quidem Ach. 1108. idem 214, 1 λέκος καὶ λεκίσκιον· καὶ λεκάνη καὶ λεκανίς· τὰ ἐκπέταλα τρύβλια. οὕτως Ἀριστοφάνης.

806

λεπτόφωνος

Pollux 4, 64. cf. fr. 644. 753.

807

λιβανωτοπωλεῖν

Ἀριστοφάνης ἔφη. Pollux 7, 196.

808

λιποταξίου

Cramer. Anecd. Ox. II 239, 11 ὁ δὲ Ὠριγένης διὰ τοῦ ι λέγει γράφεσθαι, οἷον . . . παρ' Εὐφορίωνι λιποκτενίασσα (λιποκτέανος), λιποναῦται, λιποταξίου παρὰ Ἀριστοφάνει. ad Antiphanis fr. 128, 9 rettulit Meinekius III 72. quod nequaquam necessarium est. immo quaeritur an λιποναῦται (λιποναυτίου) quoque ad Aristophanem pertineat.

809

λίστριον

Phrynich. Epit. 321 κοχλιάριον· τοῦτο λίστρον Ἀριστοφάνης ὁ κωμῳδοποιὸς λέγει. καὶ σὺ δὲ οὕτω λέγε. Bekker. Anecd. 51, 9 λίστριον· τὸ ὑπὸ τῶν πολλῶν καλούμενον κοχλιάριον. unde Dindorfius λίστριον. Hesychius λίστριον· τὸ ὑφ' ἡμῶν λεγόμενον τηγανόστροφον. οἱ δὲ μέτρον τι, μεθ' οὗ ἐπὶ τὸ τήγανον ἄλευρον ἐπιχέουσιν. et λίστρον· ξυστήρ . . πτύον σιδηροῦν. cf. Hom. Od. 22, 455.

810

λογάρια

οἱ λόγοι. Ἀριστοφάνης. Suidas. Bernhardyi dubitatione nemo

opinor commovebitur. Aristophanis verba Bergkius arbitratur servata esse Bekker. Anecd. 107, 1 *λογάρια· ὑποκοριστικῶς 'λογάριά μοι λέγει'. Φαίδων Ζωπύρῳ*, Phaedonis ea esse negans conlatis erroribus Antiatticistae manifestis 81, 5. 91, 26. cf. R. c. Att. 365. nimis dubia videtur illa opinio. cf. Meinek. Menandr. Phil. p. 236.

811

λογγάζειν

τὸ διαδιδράσκειν τὸ ἔργον, προφασιζόμενόν τινα πρόφασιν. καὶ τοῦτο Ἀριστοφάνης τίθησιν ἐπὶ ἵππων προσποιουμένων χωλεύειν. Bekker. Anecd. 50, 33. 51, 1. ibid. 106, 5 *λαγγάζει· ἐνδίδωσιν. Ἀντιφάνης Ἀντερώσῃ.* Photius *λογγάσω· στραγγεύσομαι· ὃ ἡμεῖς λαγγάσω καὶ λαγγονεύσω λέγομεν.* Aesch. fr. 107 N. apud Hesychium et *λαγγάζει* et *λογγάζει*, ubi cf. interpr.

812

λοφοπωλεῖν

(*Ἀριστοφάνης*) *εἴρηκε.* Pollux 7, 157. plus lucis adferre videtur Hesychius *λοφοπωλεῖς· οἱ τοὺς λόφους πιπράσκοντες συνεχῶς ἐπένευον. εἰώθεισαν γὰρ . . . τούτοις ἐπισείειν δεικνύναι βουλόμενοι, ὅτι αἱ τρίχες οὐ βέβρωνται τῶν λόφων, πρὸς ἐπαγωγὴν τῶν ὠνουμένων.* cf. Pac. 1210—1264.

813

μαγίδες

μᾶζαι. καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα. οὕτως Ἀριστοφάνης. Photius. *μάγιδες* Porson., accentum om. cod.

814

μάθος

λέγουσι τὴν μάθησιν. οὕτως Ἀριστοφάνης. Photius. cf. Aesch. Agam. 177.

815

μαλθακόν

ἀντὶ τοῦ ἀγαθόν. οὕτως Ἀριστοφάνης. Photius. idem 244, 12 *μαλθακόν· εὔλυτον.* itaque medicamentum dici putes. 244, 14 *μαλθάξαι· ἀγαθῦναι, καταπραῦναι.*

816

μάνην

τὴν μανίαν. λέγουσι δὲ καὶ μάναν. Ἀριστοφάνης. Photius. recte Nauckius Philol. I 353 *μάμμην· τὴν μαμμίαν. λέγουσι δὲ καὶ μάμμαν. Ἀριστοφάνης.*

817

μελαναίων

τοῦ πλοίου τὸ πεπιττωμένον, τὸ ἔναλον. Ἀριστοφάνης. Photius. Dindorfius *μελάνεων*, Bergkius *μελανεών*, ut *ποδεών, πρηγορεών.*

818

μελῳδός

Ἀριστοφάνης εἴρηκε. Pollux 4, 64. non pertinet ad Av. 1381.

819

μικροπολιτικόν

Pollux 9, 25 *ὁ μὲν μεγάλης πόλεως πολίτης μεγαλοπολίτης ἂν λέγοιτο, ὁ δὲ μικρᾶς μικροπολίτης. ὅθεν καὶ Ἀριστοφάνει εἴρηται τὸ μικροπολιτικόν.* cf. Eq. 817.

820

μύξαν

αὐτὸν τὸν μυκτῆρα καλοῦσιν, οὐχὶ τὸ ὑγρόν. οὕτως Ἀριστοφάνης. Photius.

821. 822. 823. 824

μυροπωλεῖν δὲ Ἀριστοφάνης ἔφη, μυροπώλιον, μύρου ἀλάβαστρον, μυρίδα, μυρηρὰ λήκυθος, ἀλαβαστροθῆκαι. Pollux 7, 177. cum duo extrema vocabula sint Daetalensium (fr. 205) et Triphaletis (548), etiam reliqua recte ad Aristophanem rettulit Bergkius.

825

ναύτριαι

Pollux 7, 139 *ναῦται· οἷς προσήκουσι καὶ αἱ παρ' Ἀριστοφάνει ναύτριαι.*

826

νεαλές

Bekker. Anecd. 52, 22 *Ἀριστοφάνης τὸ νεαλές . . .* fr. 361 exstat *νεαλής.* quapropter neutrum quoque ad *comicum* referre non dubitavi, cum praesertim Phrynichus Bekkeri plurima ex comoedia exempla petiverit.

827

νεανιεύεσθαι

Ἀριστοφάνης τὸ τολμᾶν ἔφη. Pollux 2, 20. Bekker. Anecd. 52, 17 *νεανιεύεσθαι· ὑψηλόν τι καὶ ἐλεύθερον φρονῆσαι.*

828

νεόφυτον

Pollux 1, 231 *εὐτελὲς μὲν γὰρ τὸ ὄνομα, κέχρηται δὲ αὐτῷ Ἀριστοφάνης.* ignobilem vocem dicit suae aetatis aestimationem secutus.

829

Νωνακριεύς

Stephan. Byzant. *Νώνακρις· πόλις Ἀρκαδίας . . . τὸ ἐθνικὸν . . . Νωνακριεὺς λέγεται παρὰ Ἀριστοφάνει. Νωνακρεύς* Dindorfius et H. Iacobi cum Hesychio *Νωνακρεύς· οἱ μὲν ἀλείπτην Ἀρκαδικὸν ἀποδιδόασιν (interpretantur)* et Photio *Νωνακρεύς· πύκτης, παγκρατιαστής.* contra formam *Νωνακριεύς* Meinekius Thes. 1625 a etiam Photio et Hesychio tribuit. de oppido Nonacride Bursian. Geogr. gr. II 202. 3.

830

νωτοπλῆγα

τὸν μαστιγίαν Ἀριστοφάνης ἐκάλεσε. Pollux 2, 180. cf. Pherecr. 89.

831

ξειρης

φυτὸν ἀρωματικόν. Ἀριστοφάνης. Photius. rectius Hesychius *ξειρίς· ἀρωματικόν τι φυτόν.* ubi cf. quae M. Schmidtius adnotavit. Hesych. *ζειρεῖν· ἀρωματοποιεῖν.* Plin. N. h. 21, 143 *sunt qui (irin) silvestrem xyrin vocent.* apud Theophr. H. pl. 9, 8, 7 *τὴν ξίριν.*

832

Ὀλυμπίειον

(cod. *ὀλύμπιον*) *τὸ ἱερὸν πεντεσυλλάβως, ὡς Ἀσκληπίειον. Ἀριστοφάνης.* Photius. 'utrum dixerit poeta non liquet'. Bergkius.

833

ὀνηλατεῖν

Pollux 7, 187. cf. fr. 758.

834

ὀνυχίζεται

ἀκριβολογεῖται. οὕτως Ἀριστοφάνης. Photius et Suidas.

835

οὐδαμᾷ

οὐδέποτε. Ἀριστοφάνης. Photius. *οὐδαμά* Dindorfius.

836

Παμβωτάδαι

δῆμος Ἀττικῆς, Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Παμβωτάδης. τὰ τοπικὰ ἐκ Παμβωταδῶν, εἰς Παμβωταδῶν, ἐν Παμβωταδῶν. Ἀριστοφάνης. Stephan. Byzant.

837

πέδων

Eustath. 1542, 48 *στίγων καὶ πέδων δοῦλος ὁ στιγματίας καὶ πεδήτης παρὰ Ἀριστοφάνει.* cf. fr. 65. 97.

838

περίζυξ

Bekker. Anecd. 58, 10 *περίζυξ καὶ ἄζυξ Εὔπολις καὶ Ἀριστοφάνης. ἄζυγα* Thesm. 1139. neque vero veri simile est *περίζυξ* soli Eupolidi, *ἄζυξ* soli Aristophani tribui.

839

πέτευρον

οὗ τὰς ἐνοικιδίας ὄρνιθας ἐγκαθεύδειν συμβέβηκεν, Ἀριστοφάνης λέγει. Pollux 10, 156. Photius *πέτευρον· πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ καὶ μετέωρον ξύλον. Ἀριστοφάνης ἐν τῷ ε. ἐν τῷ ε̄,* i. e. non *ἐν τῷ ᾱ (πέταυρον).* ceterum cf. Fritzsch. Q. Arist. 179.

840

πλειστάχόθεν

Ἀριστοφάνης ἔφη. Pollux 4, 163.

841

πλυντρίδες

Photius *λουτρίδες· δύο κόραι περὶ τὸ ἕδος τῆς Ἀθηνᾶς. ἐκαλοῦντο δὲ αὗται καὶ πλυντρίδες. οὕτως Ἀριστοφάνης.*

842

προσχίσματα

εἶδος ὑποδήματος. Ἀριστοφάνης. Photius. Hesych. *προσχίσματα· εἶδος ὑποδήματος, ἐσχισμένον ἐκ τῶν ἔμπροσθεν.* commemorantur etiam ab Aristotele Rhet. 2, 19. Probl. 30, 8.

843

πρόσχορον

Ἀριστοφάνης τὴν συγχορεύουσαν κέκληκε. Pollux 4, 106.

844

προσῳδός

Ἀριστοφάνης εἴρηκε. Pollux 4, 64. cf. fr. 644.

845. 846

πυξίον καὶ πυξίδιον

παρὰ Ἀριστοφάνει. Pollux 4, 18. idem 10, 59. 60 *τῷ δὲ παιδὶ δέοι ἂν προσεῖναι . . . πυξίον· εἴρηται μὲν γὰρ καὶ ἐπὶ ζωγράφου τοὔνομα . . . οὐδὲν δὲ κωλύει καὶ εἰς ταύτην αὐτὸ τὴν χρῆσιν τὴν ἐπὶ τῷ γράφειν ὑφ' ἡμῶν ἄγεσθαι, ἐπεὶ καὶ Ἀριστοφάνης οὕτω κέχρηται.*

847

πυτίνη

πλεκτὴ λάγυνος. Ἀριστοφάνης. Photius. (cod. *λάννος.*) Hesych. *πυτίνη πλεκτή, λάγυνος.* cf. Av. 798.

848

σαγήν

Pollux 7, 157 *λοφοπωλεῖν ὁ αὐτὸς (Ἀριστοφάνης) εἴρηκεν, καὶ σάγμα τὸ ἔλυτρον τῆς ἀσπίδος* (Ach. 574. aliter Vesp. 1142), *σαγὴν δὲ τὴν πανοπλίαν.* Photius *σάγη· ἡ πανοπλία. οὕτως Μένανδρος.*

849

σαικωνίσαι

κινηθῆναι. Ἀριστοφάνης. Bachmann. Anecd. I 360, 26 et Photius, ubi *σαικονῆσαι.* Hesych. M. Schmidtii (cf. quae adnot.) *σαικωνίσαι· διασαικωνίσαι· τὸ κινηθῆναι ἁπαλῶς.* et *διασα(ι)κώνισον· ἀντὶ τοῦ διασαλακώνευσον, οἷον τρυφερῶς βάδισον.* cf. Vesp. 1169 cum schol. etiam simplici igitur usus est.

850

σεῖν

τὸ λεγόμενον τοῖς παιδίοις ὑπὸ τῶν τροφῶν, ὅταν αὐτὰ βούλωνται οὐρῆσαι. οὕτως Ἀριστοφάνης. Photius et Bachmann. Anecd. I 362, 31. *βρῦν* (Nub. 1382) comparavit Ruhnkenius Sched. a Tittmann. ed. p. 133. cf. Lobeck. Rhem. 93.

851

σκελετεύεσθαι

ξηραίνεσθαι. Ἀριστοφάνης. Photius. ad Chaerephontem priorum Nubium referebat Fritzsch. Q. Arist. 170.

852

σκευοφόριον

ὅτῳ τὰ σκεύη ἐκομίζετο, σκ. τοῦτ' Ἀριστοφάνης καλεῖ τὸ ξύλον. Pollux 10, 17.

853

σκιμβάζειν

χωλεύειν. καὶ ἀσκωλίζειν τὸ αὐτὸ τοῦτο. οὕτως Ἀριστοφάνης. Photius et Bachmann. Anecd. I 366, 9. *σκιμα σ ν* cod. Phot. m. pr.

854

σκοπᾶν

Photius *σκοπὴν καὶ σκοπιᾶν λέγουσι. καὶ σκοπᾶν Ἀριστοφάνης. σκοπᾶν* nihil aliud esse potest quam '*insana quadam τοῦ σκοπεῖν cupiditate teneri*'. aut *σκοπεῖν καὶ σκοπιᾶν* aut *σκοπὴν καὶ σκοπάν* scribendum esse censet L. Dindorfius Thes. 430.

855

σμινύδιον

Ἀριστοφάνης. Pollux 7, 148.

856

σπογγίας

Schol. Aeschin. 3, 112 (p. 34, 38 Tur.) *εἴρηται δὲ καὶ παρὰ Ἀριστοφάνει ὁ σπογγιάς καὶ ἡ σπογγιά. ὁ σπόγγος* Sauppius coni. Elmsl. Ach. 462. atque ita etiam Lobeck. Pathol. prol. 494. 5 adn. 14. defendit *σπογγίας* Meinek. IIII 647 coni. *στρουθός, στρουθίας.* mihi *σπογγίας* hominem videtur significare nimis *τῶν σπόγγων* amantem. cf. *λημματίας, φρονηματίας* al.

857

σπυρθίζειν

τὸ ἀνασκιρτᾶν, ἀπὸ τῶν ὄνων. οὕτως Ἀριστοφάνης. Photius. Hesychius *σπυρθίζειν· σπᾶσθαι. καὶ ἀγανακτεῖν. πυδαρίζειν. καὶ σφύζειν.* melius Photius.

858

σταδιοδρόμης

Ἀριστοφάνης εἴρηκε. Pollux 3, 146.

859

στάσις

οὐχ ἡ φιλονεικία, ἀλλ' αὐτοὶ οἱ στασιάζοντες. καλοῦσι δὲ καὶ τὰ πεφυκότα σπέρματα. οὕτως Ἀριστοφάνης. Photius. cf. L. Dindorf. Thes. 663.

860

Στρεψαῖος

ὁ Ἑρμῆς παρὰ τῷ Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις. Cramer. Anecd. Ox. II 53, 14. Herodian. I 133, 26. artissime copulandum videtur cum fr. 123. Mercurium qui *στροφαῖος* vulgo dicitur (Plut. 1153. 4) ridicule Strepsae oppidi civem dixit, ut eum cupide ad quodvis lucrum oculos convertere significaret. cf. Pac. 192. 423 sq. Dindorfio ad ipsum Pluti versum haec referenti non adsentior.

861

στρογγυλοναύτας

Ἀριστοφάνης λέγει. Pollux 7, 190. quo nomine eos qui gaulo, *paene rotundo navigii genere* (Fest. 96 Muell.), vehuntur videtur significasse.

862

συγκοίτας

Ἀριστοφάνης εἶπεν. Pollux 6, 159. sine idonea ratione ad *Σκηνὰς καταλαμβανούσας* Bergkius traxit. *συγκοιτάδας* vel *συγκοίτιδας* Dindorfius.

863

συγχορεύτριαν

Ἀριστοφάνης. Pollux 4, 106. cf. fr. 843.

864

συλλήπτριαν

Ἀριστοφάνης εἶπεν. Pollux 6, 158. cum fr. 472 coniunxerat Bergkius.

865

σύμποδα

Pollux 6, 159 *εἴρηκε δὲ* (*Ἀριστοφάνης*) *καὶ σύμποδα καὶ συνθήκην* (fr. 948).

866

συρβάβυττα

καὶ τὸν τάραχον τύρβη, ὡς Ἀριστοφάνης. Photius. cf. Cratin. 84. Hesychius *τυρβασία· χορῶν ἀγωγή τις διθυραμβικῶν* et *σύρβα· μετὰ θορύβου.* num forte Photii glossae *σαβύττης* et *σάβυττος* huc pertineant nescio.

867

ταμιεῖον

οἶκος ἐν ᾧ τὰ ἀναγκαῖα ἀπετίθεσαν, ὡς Ἀριστοφάνης καὶ Κρατῖνος (448). Herodian. I 375, 26.

868

τάρρωμα

τὴν κωπηλασίαν. οὕτως Ἀριστοφάνης. Etymol. m. 747, 3, Photius, Bachmann. Anecd. I 382, 8. Photius 569, 23 *ταρσοί· . . . τὰ ἔξω τῶν κωπῶν.* Pollux 1, 93 *οἱ δὲ στίχοι τῶν κωπῶν ταρσώματα καλοῦνται.* Eustath. 1625, 17.

869

τάχας

τοὺς καταστοχασμούς, παρὰ τὸ τάχα. οὕτως Ἀριστοφάνης. Photius et Bachmann. Anecd. I 382, 20. 'finxerat inportunum aliquem hominem, qui centenis quaestionibus in alterum inrueret ac novam quamque interrogationem a voce *τάχα* ordiretur, dum tandem defatigatus ille *τούσδε τοὺς τάχας*, toties iteratum istud *τάχα*, valere iubet'. Nauck. Philol. I 353. ac similiter Bergkius.

870

τετραχίζειν

οἷον ἐπὶ τετάρτῳ μέρει ποιεῖν τι. οὕτως Ἀριστοφάνης. Etymol. m. 754, 34 et Photius, cuius cod. *τετραρχίζειν* supra scripta *ρ* a manu pr. eadem Hesychius omisso auctoris nomine.

871

τίζειν

τί λέγειν. οὕτως Ἀριστοφάνης. Photius. 'de eo qui semper *τί* interrogabat'. Bergkius. cf. Av. 266. simile *τιτίζειν* de pullorum voce.

872

τικτικόν

τὸ ταῖς τικτούσαις διδόμενον φάρμακον. Ἀριστοφάνης. Photius.

873

τραγῳδεῖν

χορεύειν. Ἀριστοφάνης. Photius. non credo Meinekio I 149 ad Nub. 1091 hoc referenti.

874

τράπεζαν

Pollux 7, 11 *ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι πιπράσκονται, τοῦτο τράπεζαν Ἀριστοφάνης καλεῖ.*

875

τρίκλυστος

Ἀριστοφάνης λέγει. Pollux 6, 165. nescio quid tragicum sonat.

876

τροχίμαλλον

σωρὸς λίθου. οὕτως Ἀριστοφάνης. Photius. idem *τρόχμαλος· ἡ ἐκ λίθων στρογγύλων αἱμασιὰ ἡ περιῳκοδομημένη τοῖς χωρίοις.* Hesych. *τρόχμαλον· τὸ πλῆθος τῶν λίθων, καὶ τὸν σωρόν.*

877

τύρβη

Photius *συρβάβυττα. καὶ τὸν τάραχον τύρβη. ὡς Ἀριστοφάνης.* cf. 866.

878

τὸν Ὕην

Etymol. m. 775, 5 et Photius 616, 14 *Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην.* Meinekius I 267. II 881 *Ἀπολλοφάνης.* at cur non idem quod Apollophani licuerit Aristophani non video. scripsit enim ipse quoque plus quam unam comoediam, in qua civium peregrinos deos recipiendi cupiditatem inridebat. ac mihi quidem ad Horas potissimum hoc fragmentum videtur pertinere. cf. fr. 566.

879

ὕλην

τὸ καθίζον τοῦ οἴνου ἢ τοῦ ὕδατος· οὕτως Ἀριστοφάνης. Photius. Phrynich. Ecl. 72 *ἰλὺς οἴνου οὐκ ὀρθῶς λέγεται· ποταμοῦ μὲν γὰρ ἰλύς, οἴνου δὲ τρὺξ ἢ ὑποστάθμη.* unde Lobeckius apud Photium *ἰλὺν* scribendum esse censuit. adversatur L. Dindorfius in Thes. 249. ac dubia certe videtur Lobeckii emendatio comparanti *ὑλίζειν, ἀφυλίζειν, διυλίζειν, ἐξυλίζειν*: quamquam ea quoque ab *ἰλύς* deducit Pathol. el. I 523 *ὑλίζειν* pro *ἰλύζειν* dictum esse contendens. at *ὑλώδης* nulla erat causa cur diceretur pro *ἰλυώδης*.

880

ὑπογεγραμμένη

ἐστιβισμένη. Ἀριστοφάνης. Photius. Etymol. m. 782, 10 *ὑπόγραμμα· τὸ Ἁρματίου ὑπόμνημα· ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι, καὶ ὑπογεγραμμένη ἐστιβισμένη. Ἀριστοφάνης.*

881

ὑπόξυλος

ὁ κίβδηλος, ὡς ὑπόχαλκος· οὕτως Ἀριστοφάνης. Etym. m. 783,

17. Pollux 3, 56 *πολίτης . . . παρεγγεγραμμένος. τὸν δὲ τοιοῦτον καὶ ὑπόξυλον ὠνόμαζον οἱ νέοι κωμικοί.* eum solum (de civitate inlegitima) usum Pollux recentioribus videtur adiudicare: quamquam auctoritas eius in talibus rebus non admodum magna est. *ὅρμους ὑποξύλους* Xen. Oec. 10, 3. ac vel Aeschylo eam vocem vindicat Hermannus Pers. 779.

882

φαυλουργούς

τοὺς μὴ ἀκριβεῖς τεχνίτας κατὰ Ἀριστοφάνην λέγε. Pollux 7, 7. non adsentior Meinekio Sophoclis solius (Philoct. 35) id epitheton esse censenti.

883

φαύστιγγες

οἱ ἐκ τοῦ πυρὸς ἐν ταῖς κνήμαις σπίλοι. οὕτως Ἀριστοφάνης. Etym. m. 789, 52 et Photius. *φαύσιγγες* Pierson. Moer. 397. Hesych. *φαύσιγγες· αἱ ἐν ταῖς πτέρναις γινόμεναι ῥαγάδες. ἔνιοι τὰς ἀπὸ τοῦ πυρὸς ἐν ταῖς κνήμαις καὶ τοῖς σκέλεσι γινομένας φλυκταίνας.* idem *φύσιγγες . . . καὶ τὰ ἐν ταῖς κνήμαις ἐγκαύματα.* Pollux 7, 110 *φαύστιγγες* (*φλύκτιγγες* C) *αἱ περὶ ταῖς κνήμαις* (*φλύκταιναι*), *μάλιστα δὲ ἐπὶ χαλκέων.*

884

Φλεήσιον

τὸ Φλιάσιον πεδίον. Ἀριστοφάνης. Photius et Etymol. m. 796, 5. nomen poetae deest in Etymol. quapropter Dobraeus in indice Phot. p. 735 Lips. id ad glossam proximam *φληνάφα* (Nub. 1475) traxit, ratione admodum dubia. *Φλειάσιοι* in tripode Delphico (cf. Bursian. Geogr. gr. II 33 n. 5) et Kirchhoff. Inscr. Att. 45.

885

φνεί

Etymol. m. 796, 46 *φνεί· δεῖ γινώσκειν ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ ἄρχεται ἀπὸ τοῦ φ καὶ ν . . . τὸ δὲ φνεί ἐπιτετηδευμένον ἐστὶ παρὰ Ἀριστοφάνει, μίμημα ὀρνέων φωνῆς. λέγουσι δέ τινες ὅτι τὸ φνεί οὐκ ἄρχεται ἀπὸ τοῦ φν. οὐκ ἔστι γὰρ φνεί ἡ λέξις, ἀλλὰ τοφνεί, τοῦ το μὴ ὄντος ἄρθρου, ἀλλὰ μέρους τῆς λέξεως· καὶ δῆλον ἐκ τοῦ μὴ εὑρίσκεσθαι αὐτὸ χωρὶς τοῦ το παρά τισι. Χοιροβοσκός.* Photius *φλιει· μιμητικὸς ἦχος τῶν γαμψωνύχων. Ἀριστοφάνης.* et Suidas *φλίει· μιμητικῶς φωνεῖ* (*μιμητικὸν φωνῆς?*). Cramer. Anecd. Ox. II 155, 23 *καὶ τὸ φνη παρ' Ἀριστοφάνῃ· ἔστι δὲ . . . μίμημα φωνῆς ὀρνέου.* Zonar. 1815 *φνεί μίμημα φωνῆς, δίφθογγον.* cf. Herodian. I 494, 16. II 601, 17. Luc. Lexiph. 19 *οὐδ' ὅσον τοῦ γρῦ καὶ τοῦ φνεῖ φροντιοῦμεν αὐτοῦ.*

886

φορτηγούς

Bekker. Anecd. 71, 13 *φορτηγεῖν, φόρτον ἄγειν. καὶ φορτηγούς Ἀριστοφάνης.*

887

φρυγανίστριαν

Ἀριστοφάνης. Pollux 7, 150. cf. fr. 788.

888

χείμαστρον

παρ' Ἀριστοφάνει. Pollux 10, 123. et 7, 61 *τὸ μέντοι χειμερινὸν ἱμάτιον χείμαστρον ἂν λέγοις.*

889

χιδρίαν

Pollux 6, 62 *εἴη δ' ἂν ἔτνους ἰδέα καὶ τὰ χῖδρα* (Eq. 806). *γίνεται δὲ ἐκ πυροῦ χλωροῦ, ὃν χιδρίαν Ἀριστοφάνης καλεῖ.* cf. fr. 682.

890

ψευδίστατον

Etym. m. 31 Va *καὶ ψευδίστερον καὶ ψευδίστατον.* D *πτωχίστερον* (Ach. 425) *καὶ ψευδίστατον. ἀριστοφ^α πλ^α;* quo utrum Pelargi an Polyidus significetur nescio.

891

ψίλαξ

Ἀριστοφάνης. ψιλὸς καὶ λεῖος Ἕλληνες. Moeris 214. Hesychius *ψίλακα· ψιλόν, λεῖον.* cf. Lobeck. Phryn. 435. apud Amyclaeos cognomen fuit Bacchi. Paus. 3, 19, 6.

892. 893

ψό

ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος· ἔστι δὲ ἀποκομματικὸν λεξείδιον. ψόθον γὰρ καλοῦσιν. Ἀριστοφάνης. πλέω γράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου. Αἰσχύλος Θεωροῖς. Photius. Nauckius (Aesch. fr. 77) cum Dobraeo nihil nisi *ψό* Aeschyli esse censet, Aristophanea autem sic scribenda '*πλέω ψοθοίου καὶ γράσου*' *καὶ* '*ῥύπου τε καὶ ψόθου*'. Hesych. *ψόθος· ψώρα, ἀκαθαρσία.* cf. etiam Sophocl. fr. 476 N.

894

ὠξυθυμήθη

παρ' Ἀριστοφάνει. Pollux 2, 231. *ὀξυθυμεῖσθαι* Thesm. 466. *ὀξυθυμηθεῖσα* Vesp. 501.

Fortasse incertarum fabularum fragmentis etiam haec adnumeranda sunt:

895

ἦ λοιδορία τις ἐγένεθ' ὑμῖν; Β. κώμαλα·
οὐδ' εἶχον οὐδέν.

cf. fr. 346. nam fortasse nihil nisi κώμαλα Cocali est.

896

αἱ γυναῖκες τὸν δορίαλλον φράγνυνται.

cf. fr. 367. fieri enim potest ut sola vox δορίαλλος ad Lemnias pertineat.

897

βαλανεὺς δ' ὠθεῖ ταῖς ἀρυταίναις.

cf. fr. 435. dubitari enim potest an solum nomen βαλανεύς sit Pelargorum.

Praeterea cf. Chionid. 9.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ ΚΑΙ ΨΕΥΔΕΠΙΓΡΑΦΑ

898

ἐγὼ διὰ ταῦτα, μὴ γέλων ὄφλων λάθω,
περὶ τὴν κεφαλὴν ἐξῆμμαι πηνίκην τινά.

Grammat. Darmstad. Hermann. Opusc. III 40 δῆλον ὅτι οἱ παλαιότεροι κωμικοὶ πηνίκην καὶ πηνικίζειν ἔλεγον . . . λέγεται δὲ πηνίκη ἡ ἐπίθετος κόμη· ὅθεν τὸ ῥῆμα, ὡς ἐν τούτοις κτλ. Aristophanis esse Bergkius conligebat ex Plutarch. Sympos. 3, 2 τῶν κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκοῦσι τῷ σκώπτειν ἑαυτούς, ὡς Ἀριστοφάνης εἰς τὴν φαλακρότητα. cui quamquam Fritzschius adsentitur Fragm. v. Eup. conscr. 21, λάθοι et ἐξῆψα scribens, res tamen admodum dubia est. nam quamquam de calvitie iocatur Nub. 540. Pac. 767 sq., capillamento se usum esse nusquam quod sciam dicit. ἐξῆμμαι manifesto corruptum.

899

βέβαιον ἕξεις τὸν βίον δίκαιος ὤν,
χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς.

Clemens Alexandr. Strom. 6, 751 Ἀριστοφάνους γράφοντος βέβαιον κτλ. ὁ Ἐπίκουρος λέγει κτλ. recte Antiphani tribuit Meinekius I 321.

900

καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών.

ἐν Σφηξὶν ὁ αὐτός φησι ποιητής (*Ἀριστοφάνης*). Athen. 7, 329 b. cf. fr. 416. Vesp. 1127 *καὶ γὰρ πρότερον ἐπανθρακίδων ἐμπλήμενος.* unde alii eiusdem versus varietatem, alii alterius alicuius comoediae versum ab Athenaeo commemorari existimaverunt. *δυσανθρακίδων* C. F. Hermann.

901

ὁ λῷστος οὗτος καὶ φιλοξενώτατος

Cramer. Anecd. Ox. II 452, 15 *κέρχνη· δοτικῇ. Ἀριστοφάνης Ὄρνισιν* (cod. *ὀρνῆσιν*)*· κέρχνης, πυρίορχος, γύψ, κύμινδις, ἀετός, ὅλως τὸ σοῦτος* (sic cod.) *καὶ φιλοξενέστατος.* prior versus est Av. 1181; alter quo pertineat nescio. ceterum cf. Teleclid. 2.

902

οὐ παντὸς ἀνδρὸς ἐς Κόρινθόν ἐσθ' ὁ πλοῦς.

Ἀριστοφάνης. Hesych. addita interpretatione a scortorum fraudibus petita. quapropter ad Plut. 149 refert M. Schmidtius. etiam grammaticum significari posse monet Dindorfius. cf. Photius *οὐ παντὸς κτλ.* Zenob. 5, 37 cum eis quae editor adnot. Diogenian. 7, 16.

903

Ἀκεσίας τὸν πρωκτὸν ἰάσατο.

Zenob. 1, 52 *Ἀκεσίας ἰάσατο· ἐπὶ τῶν ἐπὶ τὸ χεῖρον ἰωμένων. ὅλην δὲ Ἀριστοφάνης ἐν τετραμέτροις ἐκφέρει λέγων Ἀκεσίας κτλ.* cf. Diogenian. (Leutsch. II) 1, 23. Apostol. 1, 94 *Ἀκεσίας ἰάσαιτο . . . καὶ Ἀριστοφάνης· Ἀκεσίας κτλ.* Bekker. Anecd. 371, 19 *Ἀκεσίας ἀντὶ τοῦ ἰατρός.* *comicum* interpretatur Zell Ferienschr. I 116. ex epirrhemate poetae excerptum esse putat Leutschius. at Dobraeus *ἐν τετάρτῳ ἀμέτρων* (*παροιμιῶν*) pro *ἐν τετραμέτροις*, ut grammaticus sit intellegendus. cf. Nauck. Aristoph. Byz. 238. 9. perperam de Archilocho Gaisfordus cogitabat.

904

ἔμπορός εἰμι σκηπτόμενος

Ἀριστοφάνης. ἐπὶ τῶν προφασιζομένων ψευδῆ διὰ δειλίαν. εἰσάγεται γάρ τις λέγων ὅτι ὅτε πέμπομαι εἰς πόλεμον, σκήπτομαι ἔμπορος εἶναι· ὡς τῶν ἐμπόρων μὴ ἐξιόντων ἐπὶ τὰς στρατείας διὰ τὸ εὔχρηστον τὰ πρὸς τροφὴν φέροντας. Suidas. ex Plut. 904 vel Eccl. 1027 conficta videntur esse. cf. quae ad Plut. 904 Schol. adno-

taverunt et Hemsterhusius et Dobraeus. Fritzschius tamen et quodammodo etiam Hemsterhusius aliam Aristophanis fabulam indicari existimant.

905

Καπαῖον [ἤτοι Φάλτον] Δία

Cramer. Anecd. Ox. III 83, 14 *κάπη· φάτνη, παρὰ τὸ κάπτειν, ὅ ἐστιν ἐσθίειν· φησὶ γὰρ Ἀριστοφάνης Ἱππεῦσι Καπαῖον ἤτοι Φάλτον Δία. παπαῖος Ζεύς* Phrygum est. ad Antiphanem III 58 rettulit Meinekius verba *ἤτοι φατναῖον* (sic enim scribit) Meletii esse iudicans.

906

αἱματοσταγῆ

κηλῖδα τέγγῃ

Εὐριπίδης καὶ Ἀριστοφάνης. Bekker. Anecd. 362, 9. 'Aristophanis dici videtur Ran. 471'. Nauckius Eurip. fr. 863. potest etiam alius comici versus excidisse.

907

Κυσολάκων ὁ Κλεινίου

Photius *Κυσολάκων· ὁ Κλεινίας ὁ τῷ κυσῷ λακωνίζων· τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν λέγουσιν. Μελαίνῃ γὰρ Θησεὺς οὕτως ἐχρήσατο, ὡς Ἀριστοτέλης. Κλεινίας] Κλεινίου* Ruhnkenius. *Μελαίνῃ] Ἑλένῃ* Ruhnkenius. *Ἀριστοτέλης] Ἀρίσταρχος* Ruhnkenius ex commentariis ad Aristophanis comoedias scriptis haec petita esse ratus. *Ἀριστοφάνης* Meinek. II 200. Hesychius *Κυσολάκων· Ἀρίσταρχός φησι τὸν Κλεινίαν οὕτω λέγεσθαι τῷ κυσῷ λακωνίζοντα. τὸ δὲ — λακωνίζειν ἔλεγον.* cum fr. 338 coniunxit Bergkius. mihi fragmentum ad Triphaletem videtur pertinere. cf. 544. 553. 554.

908

λάχανα κνῆστ' ἢ στέμφυλα

Athenaeus 8, 373a *κνηστοῖς λαχάνοις· οὕτως δ' εἴρηκεν Ἀριστοφάνης ἐν Δηλίᾳ τὰ συγκοπτὰ λάχανα κνῆστ' ἢ στ.* Eustath. 872, 9. cf. Dindorf. Arist. fr. 9. *κνηστὰ* Eust.] *κνιστὰ* Athen. Antiphani tribuit Meinekius. quisquis eorum verborum auctor est, certe etiam *λάχανα* ad ea pertinent.

909

οὐδὲ πάτταλον δίδωσι

Bekker. Anecd. 55, 1 *Ἀριστοφάνης μεταβαλὼν ἐπὶ τὸ καινό-*

τερον οὐδὲ πάτταλον εἶπε δίδωσι· πάτταλον γὰρ κἂν ταῖς ὁδοῖς ἐρριμμένον ἔστιν εὑρεῖν. δύναται συμβολικῶς εἰπεῖν τὸν διὰ βρόχου θάνατον. dubitari potest utrum Eccl. 284 significetur an alius versus.

910

τίν' οἱ δατηταί;

Etymol. m. 249, 43 δατητὴς παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης· τίν' οἱ δατηταί; Ἀπολλόδωρος διὰ τοῦ σ φησί. Sylburgius Ἀριστοφάνης. contra Blomfieldus Gloss. Aesch. Sept. 942 Ἀριστοτέλης ἐν τῷ Τίνες οἱ δατηταί; quod forsan inscriptum fuerit capiti operis Ἀθηναίων πολιτεία. cf. Harpocrat. 52, 3—8.

911

οὐδὲ ἐθελήσει μαθεῖν

Cramer. Anecd. Par. IIII 198, 27 ἐθελήσει· ἀντὶ τοῦ οὐ δυνηθῇ. Ἀριστοφάνης κτλ. pertinent haec fortasse ad Pac. 852 οὐ γαρ ἐθελήσει φαγεῖν.

912

αὐτὸς δείξας ἐν θ' ἁρμονίαις χιάζων ἢ σιφνιάζων.

Suidas χιάζειν· Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ χρώματος τάξαι τὴν ἰδίαν ποίησιν, ὡς Σωκράτης ἐν τοῖς πρὸς Εἰδόθεον, ὡς παρ' Ἀριστοφάνει τεταγμένον. ὑποτείνει δέ τις αὐτὸν βωμολοχεῦσαι (Nub. 970) αὐτὸς δείξας κτλ. Pollux 4, 65 τὸ μέντοι σιφνιάζειν καὶ χιάζειν τὸ περιέργοις μέλεσι χρῆσθαι ἀπὸ Δημοκρίτου τοῦ Χίου καὶ Φιλοξενίδου τοῦ Σιφνίου. θ' add. Toupius Emend. II 378. Hesych. χιάζειν (καὶ add. Meinek.) σιφνιάζειν. interpretatio excidit. prorsus dubium est cuius is versus sit poetae. ceterum cf. Eupol. 81.

913

εὔξασθαι κατὰ χρυσόκερω λιβανωτοῦ

ποιητὴς ἤδη τις εἶπε σκώψας. Aristid. I 321. Aristophanem indicari opinatur Cobetus V. l.[2] 400, χρυσόκερω λιβανωτὸν παρῳδῆσθαι existimans παρὰ τὸν χρυσόκερων ταῦρον, quem divites inmolabant, cum pauperculi satis haberent θύειν λιβανωτόν. sed ut recte explicaverit vocem χρυσόκερων, cur Aristophani eum versum (videtur exitus esse tetram. anap.) tribuerit nescio.

914

δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα.

Suidas δεξιόν· δεξιὸν κτλ. Ἀριστοφάνης· ἐπὶ τῶν ἁρμοδίως τοῖς

πράγμασι κεχρημένων. Helladius in Photii Bibl. p. 533b Bekk. *παροιμίαν εἶναί φησι τὸν δεξιὸν πόδα ὑποδεῖσθαι, τὸν δ' ἀριστερὸν νίζειν· φησὶ γὰρ ὁ Πολέμων, ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα. ποδανίπτραν* Suid. ad *grammaticum* probabiliter rettulit Dindorfius. cf. utique Nauck. Aristoph. Byz. 236.

915

Ἐνδυμίωνα Κᾶρα

Ἀριστοφάνης τὸν Ἐνδυμίωνα Κᾶρά φησι διὰ τὸ περὶ τὸν Λάτμον δοκεῖν αὐτὸν τεθάφθαι. Hesychius. non sine dubitatione ad comicum rettulerim.

916

Schol. Acharn. 106 *ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας ἐκάλουν οἱ βάρβαροι, προείρηται.* ad perditam aliquam fabulam haec pertinere putat Bergkius. adversatur Engerus Zimmerm. Ztschr. 1841, 940.

917

Zonaras I 451 *Γρίσσων* (*Γρίσων*) *ὁ χοῖρος καὶ ὄνομα δρομέως παρ' Ἀριστοφάνει.* Hesychius *Γρισῶν, ὗς· Ἀριστοφάνης δὲ ὄνομα δρομέως νενικηκότος ἐν Ὀλυμπίᾳ στάδιον.* recte emendant *Κρίσων.* cf. Plat. Protag. 335. 6. Aristotelem pro Aristophane reponebat Kusterus. Aristophanem grammaticum interpretabatur Albertius. cf. Nauck. Aristoph. Byz. 233.

918

Schol. Vesp. 579 *ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος εἴρηται πρότερον.* quod schol. ad vs. 566 refert Dindorf., ad fabulam deperditam Bergkius. adversatur Engerus. cf. fr. 916.

919

Bekker. Anecd. 335, 32 *ἄγαμαι τούτου, ἄγαμαι κεραμεῖ. Εὔπολις καὶ Ἀριστοφάνης.* cf. Eupol. 364. utrum ad utrum pertineat dubium est. *ἄγαμαι* cum gen. Ach. 489. Av. 1744.

920

ἀκρατιοῦμαι μικρόν

Bekker. Anecd. 23, 16 *ἀκρατίσασθαι· τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου. Ἀριστοφάνης ἀκρ. μ.* Aristomeni (fr. 14) tribuit Athen. 1, 11d. quamquam illis quidem verbis facile duo poetae uti poterant.

921

ἀμφήκης γνάθος

ubi inveniri dicit Lobeckius Soph. Ai. 286 (ed. 3 p. 174), in scholiis Ai. 286 non exstat. sed errasse tantum virum non est credibile, cum praesertim addat in fragmentorum conlectionibus ea verba esse omissa. cf. Nub. 1109. 1160.

922

γραῦς βακχεύουσα

Diogenian. 3, 74 *γραῦς βακχεύει· ἐπὶ τῶν παρ' ὥραν τι ποιούντων. καὶ Ἀριστοφάνης· γραῦς καπρῶσα καὶ βακχεύουσα. γραῦς καπρῶσα* est Plut. 1024. cf. Diogenian. 4, 10. Apostol. 5, 60. Pherecr. 35.

923

κόπρου ἀγωγάς

Ἀριστοφάνης εἴρηκε Pollux 7, 134. *κοπραγωγάς* C. *κοπραγωγεῖν* Dindorfius: quod si verum est, significatur Lys. 1176.

924

Κυδώνια μῆλα

ὡς Ἀριστοφάνης. Pollux 6, 47. ad Ach. 1199 referebat Brunckius.

925

λύσιοι τελεταί

αἱ Διονύσου . . . ὡς Ἡρακλείδης ὁ Ποντικός. ὡς Ἀριστοφάνης δέ, διὰ τὸ λυτρώσασθαι Θηβαίους παρὰ Ναξίων Ἄμπελον. Photius. grammaticus dici videtur, cuius inter fragmenta recepit Nauckius Arist. Byz. 240.

926

ἄανθα

εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ Ἀριστοφάνει. Hesychius. Cramer. Anecd. Par. IIII 81, 18. *καὶ Ἀριστοφάνει* Pearso, *ὡς Ἀριστοφάνης* Bergk. Poet. lyr. Alcman. 118 'ut grammatici glossae Laconicae intellegantur'.

927

ἀγῶνα

τὴν συναγωγήν. οὕτως Ἀριστοφάνης. Photius. pertinere potest ad Ach. 504 similemve versum.

928

ἀκατάπληκτον

Ἀριστοφάνης. Cramer. Anecd. Par. IIII 124, 26. videtur corruptum esse ex *ἀκατάβλητον* Nub. 1229.

929

ἀλέοιμι

ἀντὶ τοῦ θερμαίνοιμι. οὕτως Ἀριστοφάνης. Bekker. Anecd. 376, 1. videtur significari Eccl. 540 *ἵν' ἀλεαίνοιμι.*

930

ἀνδρεράστριαν

Pollux 3, 70 *ἐραστρίας Εὔπολις εἴρηκεν καὶ ἀνδρεράστριαν Ἀριστοφάνης.* quamquam numerum pluralem a singulari consulto discernere videtur, tamen fortasse referendum ad Thesm. 392 *τὰς ἀνδρεραστρίας.*

931

ἀνθρήνη

εἶδος μελίσσης. Ἀρίσταρχος. παρ' ᾧ καὶ ἀνθρήνια, τὰ μελίσσια. Hesychius. Meinekius *Ἀριστοφάνης.* recte. sed cum *ἀνθρήνια* Vesp. 1080, *ὑπ' ἀνθρηνῶν* Nub. 947 inveniatur, recte H. Iacobi V p. CLIV hoc fragmentum tollendum esse monuit.

932

ἀπέκλισεν

ἀφείλατο. ἡ μεταφορὰ ἀπὸ τῶν κηρίων ἢ ἀπὸ τῶν τὸ γάλα ἀμελγόντων. ὁ δὲ Ἀριστοφάνης ἀντὶ τοῦ ἐξέρασεν. Cramer. Anecd. Par. IIII 198. non dubito quin scribendum sit *ἀπέβλισε*, quod pertinet ad Av. 498.

933

Ἀχραδοῦς

Herodian. I 242, 28 *Ἀχερδοῦς δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς καὶ Ἀχραδοῦς παρ' Ἀριστοφάνει.* cf. II 878, 3. pertinere videtur ad Eccl. 362.

934

βρόταχος

τὸν βάτραχον Ἴωνες, καὶ Ἀριστοφάνης, καὶ παρὰ Ξενοφάνει. βάτραχος, καὶ καθ' ὑπερβιβασμὸν βράταχος καὶ βρόταχος. Etymol. m. 214, 44. Herodian. II 384, 13. Meinekius *Ἀρχίλοχος* pro *Ἀριστοφάνης.* quamquam hominem Ionem loquentem induxisse potest poeta. cf. 543. Plat. 168. Strattid. 47 et multa id genus alia.

935

γραβίων

μνημονεύει .. κο ... ἐν Φοινίσσαις Athen. 15, 699 f. dubium est utrum Strattidis (50) an Aristophanis an ignoti nobis poetae fabulam significet. 15, 699 e *γράβιόν ἐστι τὸ πρίνινον ἢ δρύινον ξύλον, ὅπερ ἐθλασμένον καὶ κατεσχισμένον ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιποροῦσιν.*

936

διδοῦσιν

οὐ διδόασιν. Ἀριστοφάνης Μητροφῶντι. Bekker. Anecd. 88, 24. cf. Dindorf. Aristoph. fr. p. 9. *Ἀντιφάνης* Meinekius I 328.

937

δοκήσει

ἀντὶ τοῦ δόξῃ. Ἀριστοφάνης Βατράχῳ. Bekker. Anecd. 89, 18. in Ranis exstat *δοκήσετε* 737 (Nub. 562), *δοκήσας* 1485.

938

ἡμερίδα

τὴν ἄμπελον. οὕτως Ἀριστοφάνης. Photius. *ἡμερίδος ὄρχον* Ach. 997. sed potuit accusativo in alia fabula uti.

939

ἰσχνός

ἰσχνοὶ γὰρ οἱ παλαιοί. οὕτως Ἀριστοφάνης. Photius. nisi forte perperam intellexit Plut. 561.

940

κροαίνω

τὸ κτυπῶ καὶ ἠχῶ. Ἀριστοφάνης τὸ τοῖς ποσὶ σκιρτᾶν καὶ κροτεῖν. Etym. m. 539, 38. Etym. Gud. 348, 7 *κροαίνειν φησὶν Ἀριστοφάνης τὸ τοῖς ποσὶ κροτεῖν καὶ σκιρτᾶν.* ad grammaticum rettulit Dindorfius p. 246. cf. Nauck. Arist. Byz. 234. potuit tamen ea voce in anapaesticis etiam poeta uti vel, quae est Fritzschii (Daetal. 41) sententia, in glossarum Homericarum numero a Daetalensium fratre probo commemorari.

941

νοβακκίζειν

τὸ ὀρχούμενον τοῖς δακτύλοις ἐπιψοφεῖν. σεισμὸς Νιόβῃ. Photius. cum tragica vox esse non possit, ad Aristophanis Niobum videtur pertinere: quamquam *τῷ σεισμῷ* quid faciam nescio. an *ἢ σείστρῳ*?

942

ὀρογυίας

λέγουσιν, οὐχὶ ὀργυιάς. Ἀριστοφάνης. Photius. ex Av. 1131 *ἑκατοντορόγυιον* desumptum esse suspicatur H. Iacobi V 72.

943

περιγίγνεται

περιττεύει. Ἀριστοφάνης. Photius. significari potest Plut. 554.

944

πτωχίστερον

*καὶ ψευδίστατον ἀριστοφ^α^ πλ^α^*, Etym. m. 31 cod. D. cf. fr. 890. pertinet fortasse ad Ach. 425.

945

ῥήτορα

καὶ τὴν γυναῖκα. Ἀριστοφάνης. Photius. veri simile est pertinere ad Thesm. 292. cf. Thesm. 433.

946

σίλουρος

ι Ἀριστυφάνης. Cramer. Anecd. Par. IIII 190, 12. magis inclino ut poetae quam ut grammatico tribuam. neque recepit Nauckius. cur addiderit *ι* (i. e. non per *ει*) cognoscitur ex Athenaeo 7, 287b. de siluro pisce amni marique communi cf. Plin. N. h. 32, 145. 9, 44.

947

στρουθίζων

Eustath. 228 extr. *ὅτι δὲ ἀπὸ τῆς στρουθοῦ καὶ στρουθίζειν τὸ εὐτελῶς πως ᾄδειν, δηλοῖ καὶ ὁ κωμικός.* et 1411, 15 *τὸ μέντοι στρουθίζειν, ὅ φησιν ὁ κωμικός, ἐκ τῆς Ὁμηρικῆς παρῆκται στρουθοῦ.* Phot. *στρουθίζων· τρίζων.* quod veri simile sit *comicum* esse Aristophanem, inter Aristophanea recipit Dindorfius. idem cum in multis aliis eiusmodi faciat, hoc tamquam exemplum proposui, reliquis inter adespota relatis. nam etiamsi multa ad Aristophanem pertinere possint, certum id est in nullo.

948

συνθήκην

εἴρηκεν (Ἀριστοφάνης). Poll. 6, 159. *συνθήκας* Pac. 1065. Lys. 1267.

949

τύλη

τὸ ἐπὶ τῶν τενόντων φῦμα. Ἀριστοφάνης. Photius. fortasse pertinet ad Ach. 860. 954.

950

μάτην ἄρα τὴν ὁδὸν ἀνύτομεν

Gregor. Corinth. 69 *οἱ Ἀττικοὶ τὸ ἀνύειν ἀνύτειν φασίν, ὡς Ἀριστοφάνης ἐν Ὄρνισιν κτλ.* quae cum Dindorfio ex Av. 3. 4 detorta esse existimo.

951

ἐψίλωταί τις τὴν ἑτέραν ἡμίκραιραν

Ἀριστοφάνης. Cramer. Anecd. Par. III 35, 3. detorta ex Thesm. 227.

952

Cramer. Anecd. Ox. IIII 415, 8 *παρὰ Ἀριστοφάνῃ ἐν Ὄρνισι ἡμεῖς δὲ πρεσβευτέον καὶ κεχήνετε, ἀντὶ τοῦ κεχήνατε.* quae cum in Avibus non inveniantur ne quis fragmentis adicienda putet, moneo detorta esse ex Ach. 133.

953

Cramer. Anecd. Par. IIII 198, 29 *Ἕλλην· ὁ φρόνιμος. Ἑλληνικόν γ' ἐπένευσ' ἄνδρες οὑτοιί* (Ach. 115) *ἀντὶ τοῦ οὗτοι. καὶ Ἀριστοφάνης 'ὡς διαφέροντος καὶ τοῦ νεύματος τοῦ Ἑλληνικοῦ·'* at extrema non sunt Aristophanis, sed scholiastae Ach. 115.

954

Suidas *σχέδιον· ἐκ τοῦ ἑτοίμου. καὶ Ἀριστοφάνης 'ταῦτα δὲ σχεδίοις ἔοικεν'. τουτέστιν ἐκ τοῦ παρατυχόντος εἴρηται.* inter fragmenta recepit Dindorfius. at Gaisfordus Suidam haec male intellecta ex scholio Nub. 971 (p. 121, 24 Duebn.) *ταῦτα δὲ σχεδιάσαι ἔοικεν* excerpsisse monuit. sic iterum (in glossa *Φρῦνις*) *ταῦτα δὲ σχεδίοις ἔοικεν* pro *σχεδιάσαι* ex scholiis exscripsit.

955

Cramer. Anecd. Ox. IIII 406, 29 *παρ' Ἀριστοφάνει τὸ 'διὰ μικρὸν ἀργυρίδιον'.* ne quis haec Cramero oboediens fragmentis addenda credat, moneo esse Pluti 147.

956

Cramer. Anecd. Ox. I 446, 3 *ἀλλ' ὅμως | ἐωσάμεθα τὸν στρατὸν ξὺν θεοῖς πρὸς ἑσπέραν. Ἀριστοφάνης ἐν Λυσιστράτῃ.* 'nullibi apud Aristophanem' esse dicit Cramerus. at est Vesp. 1085, ubi pro *ἐσῳζόμεσθα* scribendum *ἐωσάμεσθα.*

957

Herodian. II 204, 7 *παρ' Ἀριστοφάνει· τὰ δὲ δὴ δένδρη τὰν τοῖς ὄρεσιν.* sunt potius Pherecratis 130, 9.

958

Cramer. Anecd. Par. IIII 198, 21 *δάπιδας . . . Ἀριστοφάνης. οὐδὲ δάπισιν ἔσται καταδαρθεῖν.* Plut. 527 *οὐχ ἕξεις οὔτ' ἐν κλίνῃ καταδαρθεῖν οὔτ' ἐν δάπισιν.*

959

σικύους ἐνθάδε πῃ φυομένους οὐδενὶ κόσμῳ περιόντες, κἄτ' ἤσθιον.

Suidas et Schol. Ald. Acharn. 520 σίκυον· ἀπὸ εὐθείας τῆς ὁ σίκυος. καὶ ἀλλαχοῦ κτλ. non sunt Aristophanis tetrametri anapaestici, sed Procopii verba Bell. Pers. 2, 18. adnotavit Bernhardy.

960

Cramer. Anecd. Par. IIII 103, 12 αἱρῇ· βούλῃ. 'ἐπείπερ αὐτὸς αἱρῇ λέγειν'. Ἀριστοφάνης. Ach. 195 ἐπειδήπερ αὐτὸς αἱρεῖ, λέγε.

961

Cramer. Anecd. Ox. III 273, 13 Ἀριστοφάνης ἐν Νεφέλαις (νεφέλες cod.). ἥκομεν τὸν πολὺν ὀψόμεναι λεών. conflata haec sunt ex Ran. 676 et Nub. 300.

962

Cramer. Anecd. Ox. I 277, 11 κρίνον κρίνος, ἔνθεν 'καὶ κρίνεισι' παρὰ Ἀριστοφάνει. Nub. 911 κρίνεσι στεφανοῖς.

963

Cramer. Anecd. Par. IIII 217, 19 τὸ φημί παρὰ Ἀριστοφάνει, οἷον παίφημι. his quid faciam nescio, nisi referatur ad Ran. 37 παῖ, ἠμί, παῖ.

964

Pollux 2, 97 παρὰ δὲ Ξενοφῶντι ἀναχαίνειν καὶ παρ' Ἀριστοφάνει. fortasse Av. 502 in suis libris invenerat ἀναχαίνων, vel Ach. 10 aliumve versum non recte intellexerat. nam χαίνειν quidem non est Atticum.

965

Bekker. Anecd. 106, 24 λείψας· ἀντὶ τοῦ λιπών. Ἀριστοφάνης Ἀνδρομέδᾳ. cf. Lobeck. Phryn. 714. Dindorf. Arist. fr. 9. Ἀντιφάνης Meinekius I 325. Cobet. V. l.[2] 325.

966

Photius 225, 11 λίξαι· ἐκτεταμένως (i. e. ει). Ἀριστοφάνης Ἱππεῦσι. Eq. 103 λείξας.

967

Photius 531, 14 σποδοῦν . . . καὶ τύπτειν, ὡς παῖσαι καὶ πατάξαι, τὸ αὐτό. οὕτως Ἀριστοφάνης. at verbum est σποδεῖν, Aristophani non inusitatum.

968

τάλιδος τῆς μελλογάμου. οὕτως Ἀριστοφάνης. Photius. Meinekius Σοφοκλῆς. est Antig. 629.

ΠΛΑΤΩΝ

Meinek. I 160sq. Cobet. Observ. crit. Plat. 56.

ΑΔΩΝΙΣ

Argumentum erat Veneris Bacchique de Adonidis amore concertatio. pro Baccho Apollinem nominat Ptolemaeus Phot. Bibl. 151, 5. Mein. I 167. V 42. de tempore non constat.

1

εἶτ' οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται;

Photius et Suidas *ὑπέρου περιτροπή· ἐπὶ τῶν ταὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων . . . Πλάτων Ἀδώνιδι κτλ. μοι*] *μὴ* cod. Phot. cf. Zenob. 6, 25. *nonne frustra semper idem faciam?*

2

περὶ τῶν δὲ πλευρῶν οὐδεμίαν ὤραν ἔχεις.

Suidas *ὤρα· . . . ψιλῶς δὲ* (i. e. *ὤρα*) *φροντίς . . . Πλάτων Ἀδώνιδι· κτλ. τῶν δὲ*] *τῶνδε* A. *Ἀδώνιδι* Gaisford.] *ὁδῶν καὶ*. videtur servus queri de ero qui laterum suorum nequaquam rationem habeat.

3

ὦ Κινύρα, βασιλεῦ Κυπρίων ἀνδρῶν δασυπρώκτων,
παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε
πάντων ἀνθρώπων, δύο δ' αὐτὸν δαίμον' ὀλεῖτον,
ἡ μὲν ἐλαυνομένη λαθρίοις ἐρετμοῖς, ὁ δ' ἐλαύνων.

Athenaeus 10, 456a *Πλάτων δ' ἐν τῷ Ἀδώνιδι χρησμὸν δοθῆναι λέγων Κινύρᾳ ὑπὲρ Ἀδώνιδος τοῦ υἱοῦ φησίν κτλ. λέγει δὲ*

Ἀφροδίτην καὶ Διόνυσον· ἀμφότεροι γὰρ ἥρων τοῦ Ἀδώνιδος. 1. *Κινύρα*] *κύπρια* A. 2. *σοι* B] *τοὶ* A. *τοι* superscripto *τε* C. *τε* L. quamquam hae varietates, si recte Dindorfium intellego, non ad *σοι*, sed ad *τε* pertinent. 3. *ὀλεῖτον* Iacobsius] *ἔχειτον* A. 4. *ἐρετμοῖς* L] *ἐριτμοῖς* P. *ἐριμοῖς* V. *ὀλεῖτον* non mortem significat, cuius neque Venus neque Bacchus auctor fuit, sed perniciem cupiditatum stimulis effectam.

4

Ἀδώνιον

Bekker. Anecd. 346 init. *Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον οὕτω δὲ καὶ Πλάτων καὶ . . . ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.* cf. Cratin. 376. Pherecr. 198. Aristoph. fr. 737.

5

ἀφοδεῦσαι

Πλάτων Ἀδώνιδι. σημαίνει δὲ . . . [*ἀποπατῆσαι* supplet Meinek.]. Bekker. Anecd. 472, 10. Suidas *ἀφοδεῦσαι· Πλάτων Ἀδώνισι. καὶ ἄφοδος ὁ ἀπόπατος ἐξ οὗ καὶ ἀφοδεύειν* (*τὸ ἀποπατεῖν* add. E). Hesych. *ἄφοδος· ἀποχώρησις ἐπὶ τὸ ἀφοδεῦσαι.*

6

ὁ δὲ ἀχυρός

παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος. Schol. Aristoph. Vesp. 1310. Meinekius *ἀχυρμός. ἄχυρος* V Ald.

7

λειποτάξιον

Δημοσθένης ἐν τῷ κατὰ Μειδίου καὶ Πλάτων ἐν Ἀδώνιδι. Photius 225, 26. Meinekius *λιποτάξιον. λιποταξίου* recte H. Iacobi in indice. cf. Aristoph. fr. 808. Antiphan. 128, 9. Plat. Leg. 12, 943d. Lys. 14, 5. Demosth. 21, 103. 39, 17. Lycurg. Leocr. 147. Aeschin. 2, 148.

8

τυροκνῆστις

ἔστιν ἐν Πλάτωνος Ἀδώνιδι. Pollux 10, 104. Aristoph. Av. 1579. Hom. Il. 11, 639.

ΑΙ ΑΦ ΙΕΡΩΝ

Mulieres a sacris redeuntes recte interpretatus est Reinesius Var. lect. 3, 7. cf. Meinek. I 167. 8. Bergk. R. c. Att. 381.

9

οὐδ' ὅστις αὐτῆς ἐκπίεται τὰ χρήματα.

Athenaeus 10, 446e *ἐνίοτε δὲ καὶ συστέλλουσι τὸ ῑ (πίομαι), ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν κτλ.* apud antiquiores comicos semper *πίομαι*. Aristoph. Eq. 1289. 1401. Theopomp. 32, 9. cf. etiam Sophocl. OC. 622. correptae vocalis exempla sunt Plat. 163. Amips. 22 (dubium utrumque). Epicr. 3, 21 (ubi scrib. *που μόνη* pro *πιομένη*). Cobetus tetrametros iambicos restituens N. l. 31 *οὐδ' ἔστιν ὅστις αὐτῆς | ἐκπίεται κτλ.* fortasse scripsit *οἶδ' ὅστις αὐτῆς* – ◡ – *τὰ χρήματα | ἐκπίεται. rempublicam* significari surreptis pecuniis fraudatam existimat Bergkius R. c. Att. 381.

10

δότω τὴν κιθάραν τις ἔνδοθεν
καὶ τοὐπιπόρπαμα.

Pollux 10, 190 *ἐπιπόρπαμα κιθαρῳδοῦ σκευή, ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν κτλ. δότω δὲ* Bentleius Epist. ad Hemsterh. p. 73. *δότω μοι* Porsonus Adv. 297. *τοὐπιπόρπημα* Meinek. V 42. citharoedus aliquis ornatum sibi efferri iubet, sine quo non facile in publicum prodibant. Nub. 332 comparavit Bergkius R. c. Att. 383 et de genere dicendi Aristoph. fr. 348.

11

πόθεν ὁρμιὰ καὶ κάλαμος;

Hesychius *ἀσπαλιεύς· ἁλιεύς. ἄσπαλος γὰρ ὁ ἰχθύς. ἔνιοι δὲ ἀπὸ τοῦ σπᾶν τὸ λίνον· λίνον δὲ ἡ ὁρμιά. ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν κτλ. πόθεν λίνον καὶ κάλαμος;* Casaub. Athen. 10, 446c. *πόθεν λίνον μοι καὶ κάλαμος γενήσεται;* Cobet. Mnem. V 202. at cum *ὁρμιά* non minus bonae sit notae quam *λίνον* (Antiphan. 28. Eurip. Helen. 1615), aliquanto sane rarius, Hesychii verba potius videntur emendanda sic *λίνον δὲ ᾗ* (pro *ἡ*) *ὁρμιά, ὡς Πλάτων κτλ.*

12

λέπει τραχεῖαν ἔχων

Bekker. Anecd. 106, 28 *λέπει· ἀντὶ τοῦ τύπτει. Πλάτων Ἀφιεροῦντι κτλ. ταῖς ἀφ' ἱερῶν* Meinekius. in Andronici indice (Bekker. Anecd. 1461) *Ἀφιέρων. λέπει — τύπτει* Meinek.] *λέπτε — τύπτε.* idem *μάστιγα* excidisse censet ante *λέπει*, ut sit versus anapaesticus. de verbo *λέπειν* Ruhnken. Epist. crit. 208.

13

μαλλωτὰς χλαμύδας

Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν . . εἴρηκεν. Pollux 7, 57.

[ΑΜΦΙΑΡΕΩΣ]

14

καὶ νὴ Δί' εἰ Πάμφιλόν γε φαίης
κλέπτειν τὰ κοίν' ἅμα τε συκοφαντεῖν.

Schol. Aristoph. Plut. 174. cf. Aristoph. fr. 40. in indice Andronici (Bekker. Anecd. 1461) titulus non commemoratur: quamquam huic quidem testimonio non nimium tribuendum esse Bekkerus ipse monuit.

ΓΡΥΠΕΣ

15

ἀνηρπάκασ' ἀπαξάπαντ' αὐτῷ κανῷ.

Zenobius 2, 31 αὐτῷ κανῷ· αὕτη τάττεται κατὰ τῶν ἄρδην ὁτιοῦν λυμαινομένων. φησὶ γὰρ ὁ Δίδυμος ὅτι τὰ δεῖπνα ἐπὶ κανῶν ἐκομίζετο, καθάπερ ἐν Κρυψίοις λέγεται Πλάτων ἀνήρπακας ἀπαξάπαντ' αὐτῷ κανῷ. Meinekius ἐν Γρυψὶ λέγεται Πλάτωνι (vel λέγει Πλάτων). omisso fabulae titulo Proverb. Bodlei. 155, ubi recte ἀνηρπάκασ'. cf. Diogenian. 2, 39. 4, 68. Apostol. 4, 40.

16

ἃ ἅ, γελῶν ἐπηκροασάμην πάλαι.

Bekker. Anecd. 360, 6 αἶ αἴ· ἠθικὸν τοῦτο. Πλάτων Γρυψίν· κτλ. ἔστι δὲ πολὺ παρὰ τοῖς τῆς μέσης κωμῳδίας καὶ νέας ποιηταῖς. ἃ ἅ — ἐπηκροασάμην Meinek.] αἶ αἴ — δ' ἐπηκροώμην. γελῶν Bekker.] γελῶ. Bergkius R. c. Att. 383 αἰαῖ· γέλων δ' ἐπηκροώμην σου πάλαι '*hahahae: risum tuum dudum audivi*'. narrare videtur nescio quis se alterum ridentem audivisse. itaque scribendum est ἃ ἅ γελῶν· ἐ π η κ ρ ο ώ μ η ν γὰρ πάλαι. initio pauca desunt. Photius ἃ ἅ . . . δασυνθὲν δὲ γέλωτα δηλοῖ, ὥς φησι Διογενιανός. Eustath. 855, 19 κεῖται ἐν Ἐπιλογῇ λέξεων ἀρχαίᾳ, ὅτι ἃ ἅ δασυνθὲν γέλωτα δηλοῖ.

17

ἰχθῦς, κωλᾶς, φύσκας

Athenaeus 9, 368e ἀπὸ δὲ τοῦ κωλέα συνῃρημένον ἐστὶν . . . κωλῆ . . . Πλάτων Γρυψίν κτλ. ἐρίφων κωλᾶς vel tale quid Bergkius.

18

πλειστηριάσαντες

ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων . . . κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν. Harpocration, Photius, Cramer. Anecd. Ox. II 498, 19 (ubi in fine οὕτω Πλάτων

ὁ κωμικός). Bekker. Anecd. 296, 17 πλειστηριάσαντες· τὸ πλείονος πωλῆσαι τιμῆς, οὗ τις ὠνήσατο. Hesych. πλειστηριαζόμενος· ὑπερβαλλόμενος. καὶ (πλειστηριάζειν) τὸ ὑπερτιμᾶσθαι ὤνιον. cf. idem πλειστηριάσαντες.

ΔΑΙΔΑΛΟΣ

Clemens Alexandr. Strom. 6 p. 752 Πλάτων τε ὁ κωμικὸς καὶ Ἀριστοφάνης ἐν Δαιδάλῳ τὰ ἀλλήλων ὑφαιροῦνται. quae criminatio quam ridicula sit, egregie demonstrat Cobetus Obs. crit. Plat. 67—82, Daedalum a Platone scriptam esse omnino negans. atque in eandem sententiam etiam Dobraeus inclinavit. cf. quae ad Schol. Aristoph. Nub. 663 adnotat. dubitat tamen Meinekius V 5 propter Daedalum a Suida (Πλάτων) et Andronico (Bekker. Anecd. 1461) commemoratam.

19. 20

εὖ ἴστε· πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.
* * * *
ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.

Schol. Aristoph. Nub. 663 ἐν τῷ Πλάτωνος Δαιδάλῳ· 'ἐν ἴστε — πολλάκις. ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ. Athen. 9, 374 c Ἀριστοφάνης Δαιδάλῳ πολλαὶ — πολλάκις. Photius et Suidas ὑπηνέμια· λέγουσιν ὡς ἡμεῖς. Ἀριστοφάνης Δαιδάλῳ κτλ. cf. Aristoph. fr. 186. ὁ δὲ παῖς] ὁ δὲ παῖς ὅδ' Heinsius. ὁ παῖς δέ γ' Fritzschius De parops. 8.

ΕΛΛΑΣ Η ΝΗΣΟΙ

De imperio Atheniensium maritimo poetam egisse fabulamque post Ol. 93 editam esse Meinekius arbitratur I 169. 70.

21

βούλει τήνδε σοι πλεκτὴν καθῶ
κᾆπειτ' ἀνελκύσω σε δεῦρο;

Pollux 10, 142 πλεκτὴν γὰρ οἱ Ἀττικοὶ τὴν σειρὰν ὠνόμαζον, ὡς Πλάτων ἐν Ἑλλάδι κτλ. cf. Lysipp. 1.

22

εἴξασιν ἡμῖν οἱ νόμοι
τούτοισι τοῖς λεπτοῖσιν ἀραχνίοισιν, ἃ
ἐν τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνεται.

Photius et Suidas φάλαγξ· θηλυκῶς ὁ ἀράχνης. Πλάτων Ἑλλάδι κτλ. Eustathius 924, 8 Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην (χρῆσιν) ἐκ τοῦ κωμικοῦ Πλάτωνος κτλ. Philemon Grammat. p. 179. εἴξασιν Meinek.] ἐοίκασιν. εἴκασι Porson. τούτοισι Suid. A] τουτοισὶ cod. Phot. ἀραχνίοισιν Philemo] ἀραχνίοις. ἀραχνιδίοις Meinek. ἃ | ἐν K.] ἂν (i. e. ἃ ἐν) Grotius Exc. 482. ἀν Meinek. τοίχοις] τοίχοισιν cod. Phot. ἡ φάλαγξ om. V Suid. ὑφαίνεται Porsonus] ὑφαίνει. ἡφαίνει V Suid. cf. Xen. Mem. 3, 11, 6 αἱ φάλαγγες . . . ἀράχνια . . λεπτὰ ὑφηνάμεναι. cf. ibid. 7. Plat. Phaed. 87 b. non recte plerique tetrametros effinxerunt. rectius sed violentius (Cob. Obs. crit. 195) Porsonus ἡμῖν οἱ νόμοι | εἴκασι τούτοις τοῖσι λεπτοῖς ἀρ., | ἂν τοῖσι — ὑφαίνεται. sententiae auctores dicuntur aut Anacharsis (Plut. Sol. 5), aut Zaleucus (Stob. Serm. 45, 25) aut Solon (Diog. L. 1, 58).

23

λαβὼν οὖν
τὸν σκύλακα τὸν τοῦ προξένου κᾆπειτα δῆσον αὐτόν.

Pollux 10, 167 δεσμὸς μέντοι σιδηροῦς καὶ σκύλαξ, οὗ μέμνηται Πλάτων ἐν Ἑλλάδι κτλ. τοῦ Προξένου Meinek. κᾆπειτα cum participio, ut Aristoph. Nub. 409.

24

εἰ μὲν οὖν ταύτην σὺ τὴν θάλατταν ἀποδώσεις ἑκών,
εἰ δὲ μή γε, ταῦτα πάντα συντριαινῶν ἀπολέσω.

Schol. Hom. Il. 1, 135 apud Koenium Greg. Corinth. p. 48 Πλάτων ἐν Ἑλλάδι κτλ. Eustathius 66, 34 Πλάτων ὁ κωμικός κτλ. tetrametros trochaicos perperam arbitror restitutos esse. nam cod. εἰ μὲν σὺ τὴν θάλασσαν ἀποδώσεις ταύτην ἑκών· εἰ δὲ μή, ταῦτα πάντα συντριαίνω ἀπώλεσα. Eustath. σοι pro σύ et ἀποδώσει, omissis ταύτην et συντριαινῶν ἀπολέσω. γε in v. 2 add. Bernhardy Dionys. Perieg. (Eustath. comm.) p. 936. Bastius εἰ μὲν σὺ τὴν | θάλασσαν ἑκὼν ταύτην ἀποδώσεις· εἰ δὲ μή, | ἅπαντα ταῦτα συντριαινῶν ἀπολέσω. atque articulus quidem in exitu versus ponitur etiam Antiphan. 85, 4. Nicostr. 17, 2. Amphid. 30, 5. Ephipp. 7, 1. Alexid. 20, 4. 24, 2. 250, 3. Philem. Aelian. H. an. 12, 10, Menand. Athen. 8, 364 d. Athen. 6, 243 a. sed anapaestus v. 2 vitiose incisus Platonem ita non scripsisse testatur. fortasse εἰ μὲν σὺ δώσεις τὴν θάλατταν· εἰ δὲ μή, | ἅπαντα ταῦτα κτλ. ἀπολέσω autem mutandum in ἀποκλύσω. neque enim necessarium κατακλύσω. aliter Hanovius Exercit. crit. 117. 8. Cobetus Obs. crit. 193. H. Iacobi in Mein. ed. min. XIII. — Neptuni verba esse indicavit Meinekius, sed cur Neptunum Lacedaemoniis faventem faciat Bergkius R. c. Att. 384, non perspicio. imperare

videtur Lacedaemoniis ut imperium maritimum tandem aliquando Atheniensibus reddant.

25

σκώληκα

τὸ πανόμενον θαλάσσιον κῦμα καὶ ἀρχόμενον. Πλάτων Ἑλλάδι. Bekker. Anecd. 114, 9. Photius *σκώληξ· τὸ πρὸς τῇ γῇ οἴδημα τῆς θαλάσσης· οἷον τὸ προσαράσσον κῦμα.*

26

τάξαι

τὸ τιμῆσαι. ἐν Νήσοις Πλάτων. Photius. Aristidis memoriam in hoc verbo deprehendit Cobetus Obs. crit. 194. eum enim ab Atheniensibus delectum esse ut constitueret (*τάξαι*), quantum quaeque civitas pecuniae daret ad bellum cum Persis gerendum, conl. Demosth. 23, 209. Aeschin. 2, 23. 3, 258. quibus addere poterat [Andocid.] 4, 11. quamquam hoc perincertum esse ipse fatetur Cobetus.

27

χρηστήρια

τὰ πρὸς θεωρίαν ἢ θυσίας σκεύη ὠνόμαζον, ὡς καὶ Πλάτων ἐν τῇ Ἑλλάδι εἴρηκεν ὁ κωμικός. Pollux 10, 11.

Ad Helladem fr. 183 refert Sintenisius, fr. 220 Fabricius. Hesychii glossam *Μαιῶτιν λίμνην· ἐν Ἑλλάδι* ad Platonis fabulam coniectura dubia refert Meinek. cf. M. Schmidt.

ΕΟΡΤΑΙ

Sacrificiorum dierumque festorum nimios sumptus a poeta reprehendi arbitratur Meinekius, choreutas ludorum sollemniumque dierum quibusdam insignibus praeditos prodiisse Bergkius R. c. Att. 132: incertum utrumque.

28

τῶν γὰρ τετραπόδων οὐδὲν ἀποκτείνειν ἔδει
ἡμᾶς τὸ λοιπόν, πλὴν ὑῶν. τὰ γὰρ κρέα
ἥδιστ' ἔχουσι, κοὐδὲν ἀφ' ὑὸς γίγνεται
πλὴν ὑστριχὶς καὶ πηλὸς ἡμῖν καὶ βοή.

Clemens Alex. Strom. 7, 33 p. 849 *οὐ κακῶς ὁ κωμικὸς Πλάτων ἐν ταῖς Ἑορταῖς τῷ δράματί φησι κτλ. οὐδὲν ἀποκτείνειν*] *οὐδὲ ἓν κτείνειν* Herwerd. Stud. crit. 5. at *κτείνειν* apud comicos non exstat nisi in parodiis et choricis. *ἔδει | ἡμᾶς* Sylburg.] *ἡμᾶς ἔδει*

L. ἡμᾶς om. cod. Ottob. 2. ὑμᾶς et 4. ὑμῖν Cobet. Obs. crit. 191: ipsas enim bestias loqui ut in Cratetis Feris. cf. fr. 35. 4. ὑστριχὶς G. Dindorf. Thes. 524] ὕστριχες. πηλὸς] πέλεθος Meinek. (ὕστριχες ἡμῖν καὶ πέλεθός τε κ. β.). καὶ πηλὸς ἡμῖν Heinsius] ἡμῖν καὶ πηλός. cf. Cratet. 17. neque anapaesti prava incisio in v. 1 neque ἔδει τὸ λοιπὸν tolerari potest. scribendum videtur οὐκ ἀποκτείνειν ἐᾶ ὑμᾶς (et v. 4 ὑμῖν). sic Aristoph. Eq. 160 οὐ πλύνειν ἐᾶς. Lys. 509 οὐ γὰρ γρύζειν εἴαθ' ἡμᾶς. praeterea in v. 2 scribo τά τε γὰρ κρέα.

29

ἐξιόντι μοι
ἁλιεὺς ἀπήντησέν φέρων μοι κεστρέας.
B. ἰχθῦς ἀσίτους καὶ πονηροὺς . . .

Athenaeus 7, 308a Πλάτων τε ἐν Ἑορταῖς φησιν κτλ. μοι] μὲν γὰρ BP. 3. πονηροὺς] τοὺς πονηροὺς ἦγέ μοι. σὺ δέ μοι εἰπέ codices. ἦγέ μοι non magis poetae sunt quam σὺ δέ μοι εἰπέ. fortasse πονηροὺς ἔν γ' ἐμοί. cf. Aristoph. fr. 267, et de *cestreo* Aristoph. fr. 156.

30

εὖ γέ σοι γένοιθ', ὅτι
ἔσωσας ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου.

Schol. Eurip. Med. 476 ὁ Πλάτων ἐν ταῖς Ἑορταῖς φησιν κτλ. Eustathius 813, 46 Αἴλιος δὲ Διονύσιος ἱστορεῖ τοὺς κωμικοὺς μάλιστα ἐκκλίνειν πᾶν τὸ ἔχον σιγμὸν καὶ ἐξήχησιν καὶ ψόφον . . . διὸ καὶ διασύροντες τοὺς τραγικοὺς ὡς μὴ τοιούτους προσπαίζουσιν ἐν τῷ ἔσωσας κτλ. et 896, 56 καὶ ἡ κωμῳδία μετὰ τὴν εὕρεσιν τῆς χρήσεως τοῦ τ̄ ἀντὶ τοῦ σ̄ ἐπισημαίνεται χαίρειν, ὡς ἀπαλλαγεῖσα τῶν σιγμάτων Εὐριπίδου. 1379, 58 δηλοῖ καὶ ὁ πρός τινα ἐν διπλασιασμοῖς τοῦ τ̄ ἀττικίζοντα εἰπὼν ὡς εὖ γέ σοι ὅτι ἀπήλλαξας ἡμᾶς τῶν σιγμάτων Εὐριπίδου. Cramer. Anecd. Par. III 13, 36 ἔσωσεν ἡμᾶς ἐκ τῶν σιγμάτων Εὐρ. εὖ γέ σοι γένοιθ' ὅτι Meinek. ed. min.] εὖ γέ σοι ὅτι Eustath. 1379, 58. ἡμᾶς ὅτι Meinek. antehac. ἡμᾶς omitti iussit Cobet. Obs. crit. 183 conl. Aristoph. Plut. 390. Nub. 1499. σῖγμα τῶν Choerob. Bekker. Anecd. 1169] σιγμάτων. 'τὸ δὲ ἀληθέστερον κατὰ διάστασιν ἀναγινώσκεται, οἷον ἔσωσά σ' ἐκ τῶν σῖγμα καὶ ἐπιφέρεται τῶν Εὐριπίδου'. cf. Eubul. 26. 27. Xen. Hell. 4, 7, 10 τὰ σίγμα τὰ ἐπὶ τῶν ἀσπίδων. εὖ σοι γένοιτο ipsius Euripidis sunt. cf. Eur. fr. 702 N. Athen. 5, 186c.

31

τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν.

Schol. Aristoph. Av. 798 *Διειτρέφης . . . ἅρπαξ καὶ πονηρὸς καὶ πολυπράγμων. Πλάτων δὲ ἐν Ἑορταῖς καὶ ξένον, τὸν μαινόμενον κτλ.* Suidas *Διιτρέφης· οὗτος δὲ ἦν νεόπλουτος καὶ ἅρπαξ καὶ πονηρός. Πλάτων Ἑορταῖς κτλ.* de *Diitrephe* cf. quae adnotavimus ad Aristoph. *μόγις*] *μόσις* V. *μοῦ* G. *Ἀττικόν*] *Ἀττικῆς* G. fortasse etiam *καὶ ξένον* Platonis sunt et ante *τὸν μαινόμενον* in exitu eius qui praecedebat versus inserenda.

32

καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας.

Schol. Aristoph. Acharn. 352 et Suidas *ὄμφαξ* et *δεινόν· θηλυκῶς δὲ καὶ τὰς ὄμφακας λέγει* (Meinek. *λέγουσιν, λεγομένας* Nauck. Philol. VI 415), *ἔχεις παρὰ Πλάτωνι τῷ κωμικῷ ἐν δράματι Ἑορταῖς κτλ.* Bekker. Anecd. 56, 10 *τὰς ὄμφακας θηλυκῶς εἶπε Πλάτων. σχάσασθε*] *σχάσασθαι* codices Suid. deteriores (*δεινόν*). *ὄμφακας* 'metaphorice dicit de animi acerbitate. Aristoph. Ach. 351. Bekker. Anecd. 53, 9 *ὄμφακας βλέπει, οἷον αὐστηρὸν καὶ δριμύ.* Phot. *ὄμφακα πᾶν τὸ αὐστηρὸν λέγουσιν*'. Meinek.

33

ὁπόθεν ἔσοιτο μᾶζα καὶ παροψίδες.

Athenaeus 9, 367 c *Πλάτωνα οἶδα εἰρηκότα ἐν Ἑορταῖς οὕτως κτλ.* et 368 c *Πλάτων Ἑορταῖς ὁπόθεν κτλ. περὶ βολβῶν δ' ἀρτύσεως καὶ σκευασίας τὸν λόγον ποιεῖται.*

34

ἔπειτα κλίνην ἀμφίκολλον πυξίνην

Pollux 10, 34 *καὶ ἀμφίκολλος (κλίνη)· οὕτω γὰρ τὴν κατακεκολλημένην ὠνόμασεν ἐν ταῖς Ἑορταῖς Πλάτων κτλ.* '*ἀμφίκολλος κλίνη* lectus est utrimque agglutinatum habens pluteum, sustinendo pulvino capitis.' Kuehnius.

35

κατηδέσθημεν ἂν
καὶ κατεκόπημεν εὐθύς.

Eustathius 1403, 34 *Πλάτων . . . ἐν Ἑορταῖς κτλ.* bestias ipsas loqui monuit Cobet. Obs. crit. 191. cf. fr. 28.

36

ἐμφέρεσθε δὲ
τὰ ῥάμματα.

Pollux 10, 135 *δεῖ δὲ ἐπὶ ταῖς ἐσθῆσι καὶ ῥαμμάτων. εἴρηται δὲ τοὔνομα ἐν Πλάτωνος Ἑορταῖς κτλ. ἐμφέρεσθε* Meinek.] *ἐμφέρεσθαι.*

37

ὡς μέγα μέντοι πάνυ τὴν Αἴτνην ὄρος εἶναί φασι τεκμαίρου, ἔνθα τρέφεσθαι τὰς κανθαρίδας τῶν ἀνθρώπων λόγος ἐστὶν οὐδὲν ἐλάττους.

Schol. Aristoph. Pac. 73 *μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι . . . Πλάτων Ἑορταῖς κτλ. πάνυ* Meinek.] *πάλαι. ἔνθα* Cobet. Obs. crit. 192] *ὅθεν.* suspecta mihi sunt *εἶναί φασι.* fort. *εἶναι δεῖ, σὺ τ.*

38

ὁ δὲ τὸν ἐγκέφαλόν τις ἐξαύσας καταπίνει.

Eustathius 1547, 58 *τὸ ὀπτῆσαι ἐξαῦσαι. Πλάτων Ἑορταῖς κτλ.* Meinekius *τὸ ὀπτῆσαι ἐξαῦσαι Πλάτων Ἑορταῖς οἶδε· τὸν ἐγκέφαλον παῖς ἐξαύσας καταπίνει.* an *τοῦ δὲ τὸν ἐγκ. πᾶς ἐξαύσας κ.*? de verbo *ἐξαύω* Lobeck. Rhem. 11. 12.

39

ἀστραβεύειν

Πλάτων εἴρηκεν ἐν Ἑορταῖς. Pollux 7, 186.

40

τὰς ἐγκεντρίδας

ἐπὶ τῇ τῶν ὑποζυγίων χρήσει Πλάτων ὁ κωμικὸς ἐν Ἑορταῖς εἴρηκεν. Pollux 10, 54. cf. Pherecr. 48. aliter Aristoph. Vesp. 427. 1073.

41

κόφινος

οὐ ῥητέον φασίν, ἀλλὰ ἄρριχος. Πλάτων Ἑορταῖς. Bekker. Anecd. 102, 1. etiam aliis comicis usitatum.

42

στυλοβάτην

ἐν τῇ οἰκίᾳ Πλάτων εἴρηκεν ὁ κωμικὸς ἐν Ἑορταῖς. Pollux 7, 121. distinguit enim hunc *στυλοβάτην* a cognomine basi columnae doricae. Hesych. *στυλοβάτης· τοῦ κίονος ἡ βάσις.*

ΕΥΡΩΠΗ

Fabulam de raptu Europae in ridiculum deflexit.

43

Α. γυνὴ καθεύδουσ' ἐστὶν ἀργόν. Β. μανθάνω.
Α. ἐγρηγορυίας δ' εἰσὶν αἱ παροψίδες,
αὗται μόνον κρείττους πολὺ χρῆμ' εἰς ἡδονὴν
ἠταλλαβεῖν. οὐ γάρ τινες παροψίδες
εἴσ', ἀντιβολῶ σε;

Athenaeus 9 p. 367 c *ἐν δὲ Εὐρώπῃ* (*Πλάτων*) *πάλιν ἐπὶ παροψήματος διὰ πλειόνων εἴρηκεν, ἐν οἷς ἐστι καὶ τάδε γυνὴ κτλ. κἀν τοῖς δ' ἑξῆς δίεισιν ὥσπερ ἐπὶ παροψήματος λέγων τῶν παροψίδων.* 2. *εἰσὶν αἱ*] *εἰσὶ καὶ* Meinek. 3. *αὗται μόνον*] *αὐταὶ μοναὶ* Meinek. *αὐτὸ μόνον οὐ* Hermann. plenius interpungeus post *κρείττους*. *κρείττους*] *κρεῖττον* Schweighaeuser. *λόγου κρεῖττόν τι χρῆμ'* Cobetus Obs. crit. 192. 3. 4. *ἠταλλαβεῖν* A. *εἰς κάλλος, εἰς ἐσθῆτα λαβεῖν.* (*οὐ γάρ τινες | παροψίδες ταῦτ' εἰσίν; ἀντ. σε*) Hermannus anapaesti incisione intolerabili. *ἢ καταλαβεῖν* Fritzschius De parops. 6. (i. e. *ὥστε καταλ.*). at voluptas quae non percipiatur nulla est. *ἢ τἄλλ' ἅπαντ'* Herwerden. Obs. crit. 30. in proximis *οὐ γάρ; Β. τίνες | παροψίδες εἰσίν; ἀντιβολῶ σε* Cobetus *παροψίδας* eas esse explicans, quas Lucianus dicat in Amoribus, Achilles Tatius lib. II. Aristoph. Lys. 162 sq. — videtur conloqui Iuppiter tauri instar in Venerem ruens cum altero nescio quo (Venerem ipsam fuisse opinor vel Mercurium), qui ne dormienti Europae vim inferat ita suadet, ut vigilantis coitum multo iucundiorem esse dicat. is morae inpatientem tandem permovet ut aliquamdiu cesset. emendanda autem haec sic fere puto:

Α. γυνὴ καθεύδουσ' ἐστὶν ἀργόν. ΖΕΥΣ. *μανθάνω.*
Α. ἐγρηγορυίας δ' εἰσὶν αἱ παροψίδες
αὗται, λόγου κρείττους, πολὺ χρῆμ' εἰς ἡδονήν,
ἧς μεταλαβεῖν ὀργᾷς. ΖΕΥΣ. *τίνες παροψίδες;*
εἴπ', ἀντιβολῶ σε.

πολὺ χρῆμα multo rarius dicitur quam *μέγα χρῆμα*. unum in promptu habeo exemplum, sed id locupletissimum, Aristoph. Plut. 894. *ὀργᾷν* sic Av. 462. cf. etiam Lys. 1113. '*vigilantis sunt deliciae illae, iucundiores quam dici potest, quaeque plurimum conferant ad voluptatem, cuius tu compos fieri gestis.*' Timocl. 22, 4 sq. comparat Meinekius.

44

ἁλιευόμενός ποτ' αὐτὸν εἷλον ἀνδράχμη
μετὰ πρημνάδων, κἄπειτ' ἀφῆχ', ὅτι ἦν βόαξ.

Athenaeus 7, 328 f *πρημνάδας δὲ τὰς θυννίδας ἔλεγον. Πλάτων Εὐρώπῃ κτλ.* Bekker. Anecd. 383, 10 *ἁλιευόμενος· ἀντὶ τοῦ ἁλιεύων. Πλάτων. ἁλιευόμενος* L] *ἁλιεύμενος* A. *εἷλον* Meinek.]

εἶδον PVL. εἶδεν C et Hoesch. ἀνδράχμη PVL] ἀνδραχθῇ C et Hoesch. ἁδρὸν ἄχνῃ Herm. (oratorem cum pisce comparari ratus). ἀνδράχνῃ Herwerd. Obs. crit. 30. ἀφῆχ' (i. e. ἀφῆκα) Meinek.] ἀφῆκεν. recte ut videtur Herwerdenus ἀνδράχνῃ, quam Plinius N. h. 25, 162 dicit ab Italis vocari *inlecebram*. in explicando Herwerdenus nimius est, ut plerique interpretes Horatii Carm. 1, 14, cum etiam ἁλιεύεσθαι et πρημνάδας et ἀνδράχνην figurate accipienda esse statuit. rectam viam monstrant Av. 166 sq., quamvis id obscurum sit dictum, et 1291 sq. scilicet is de quo haec dicuntur vulgo per iocum piscis nomine significabatur; quem is qui loquitur evertendi sibi occasionem factam esse narrat, sed potius visum esse eum dimittere, quoniam inanis sit clamator.

45

ἠμηχάνουν

Πλάτων ἐν τῇ Εὐρώπῃ. Bekker. Anecd. 42, 5.

ΖΕΥΣ ΚΑΚΟΥΜΕΝΟΣ

Perperam *Ζεὺς καλούμενος* Andronicus Bekk. Anecd. 1461. Herculis quaedam fata ridicula potissimum hac fabula fuisse descripta ex fr. 46. 7 cognoscitur: qui cum Iovis filius fuerit patri longe dilectissimus, tituli ratio facile intellegitur. cf. Meinek. I 171. Cobet. Obs. crit. 97—101. ac fragmenta quoque ad unum omnia ei argumento optime conveniunt. lenonis hortatu cum meretricula cottabo ludentem videmus fr. 46. 47. bonis suis spoliatus et cum ignominia ex lupanari eiectus quidquid supererat fame coactus ad salsamenta emenda confert fr. 49. conl. Vesp. 60 Cobetus ante Ol. 89, 2 actam esse fabulam statuerat; sed cf. Wilamowitz. Obs. crit. 5. 6.

46

πρὸς κότταβον παίζειν, ἕως ἂν σφῷν ἐγὼ
τὸ δεῖπνον ἔνδον σκευάσω. ΗΡΑΚΛΗΣ. πάνυ βούλομαι.
ἀλλ' ἄγγος ἔστ'; *Α.* ἀλλ' εἰς θυῖαν παιστέον.
ΗΡ. φέρε τὴν θυῖαν, αἶρ' ὕδωρ, τὰ ποτήρια
παράθετε. παίζωμεν δὲ περὶ φιλημάτων.
Α. . . . . . ἀγεννῶς οὐκ ἐῶ
παίζειν. τίθημι κοττάβεια σφῷν ἐγὼ
τασδί τε τὰς κρηπῖδας ἃς αὕτη φορεῖ,
καὶ τὸν κότυλον τὸν σόν. ΗΡ. βαβαιάξ, οὑτοσὶ
μείζων ἀγὼν τῆς Ἰσθμιάδος ἐπέρχεται.

Athenaeus 15, 666 d *Πλάτων δ' ἐν Διὶ κακουμένῳ παιδιᾶς εἶδος παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ* ἐ ξ ί σ τ α ν τ ο κ α ὶ

τῶν σκευαρίων (fr. 48) *οἱ δυσκυβοῦντες· λέγει δ' οὕτως κτλ.* eadem sine poetae verbis Schol. Aristoph. Pac. 1244 (p. 207, 26 Duebn.). 2. *τὸ δεῖπνον ἔνδον σκευάσω* Dindorf.] *τὸ δεῖπνον· ὃν ἐσκευάσω* BP et ut videtur A. *τὸ δεῖπνον ἐσκευάσω* VL. *ἔνδον τὸ δεῖπνον σκευάσω* Iacobs. Addit. Athen. 350. 3. *ἄγγος ἔστ'; B. ἀλλ' εἷς* K.] *ἄνεμος ἐστάλλεις* A. *ἃ νόμος ἔστ'. B. ἀλλ' εἷς* Hermannus apud Meinek. *θυῖαν* PL] *θυείαν* V. *παιστέον* Hermannus] *παῖς τεὸν* A. 4. *τὴν*] *δή? τὰ ποτήρια* K.] *ποτήρια.* cf. Aristoph. fr. 466. 6. lacunam explent Dobraeus *ποίων φιλημάτων*; Cobetus *ἰδοὺ φιλημάτων.* an *σφῷ περὶ φιλημάτων*; 7. *τίθημι* Cobetus] *τίθεμαι.* 8. *τε* Elmsl. Auct. Aristoph. Ach. 108] *γε. αὕτη* idem] *αὐτή.* 9. 10. *οὑτοσὶ μείζων* Casaub.] *οὗτοι ἴμιζωνι* A. *ἀγὼν τῆς* Casaub.] *ἀγωνιστής.*

cottabi ludum proponit leno, accipit Hercules. sed ad cottabum vase opus est (v. 3 *ἄγγος*); quod cum praesto non sit, mortarium cum ceteris rebus quae necessariae sunt adfertur. Hercules soli puellae inhians oscula victoris praemia (*κοττάβεια* 7) constituit; non concedit leno, bonis eum emungere cupiens, sed poculum eius, aureum opinor, crepidasque puellae praemia ponit. quo facto Hercules hoc sibi certamen pluris quam Isthmiacum (*Ἰσθμιάδος* i. e. *ἑορτῆς*) constare per iocum queritur.

47

ἀγκυλοῦντα δεῖ σφόδρα
τὴν χεῖρα πέμπειν εὐρύθμως τὸν κότταβον.

Athenaeus 15, 667 b *ἀγκυλοῦντα γὰρ δεῖ σφόδρα τὴν χεῖρα εὐρύθμως πέμπειν τὸν κότταβον, ὥς Δικαίαρχός φησιν, καὶ Πλάτων δὲ ἐν τῷ Διὶ τῷ κακουμένῳ· παρακελεύεται δέ τις τῷ Ἡρακλεῖ, μὴ σκληρὰν ἔχειν τὴν χεῖρα μέλλοντα κοτταβίζειν.* poetae verba esse sola *ἀγκυλοῦντα* — *κότταβον* intellexit Cobetus Obs. crit. 99. cf. etiam Dobr. Adv. II 351. ipsa puella videtur Herculem docere, quomodo debeat cottabum vasculo inmittere.

48

τὸν κότυλον φέρει

Πλάτων ἐν Διὶ κακουμένῳ. Athen. 11, 478 c. *ὁ κότυλος* idem est quem leno 46, 9 commemoraverat. eum iam puella victrix accipit. *φέρει*, saepius *φέρεται.* sed cf. Plat. Reip. 5, 468 c. Leg. 2, 657 extr. Reisig. Enarrat. Oed. Col. v. 6. — loqui videtur leno.

49

ὥσθ' ἅττ' ἔχω ταῦτ' ἐς ταρίχους ἀπολέσω.

Athenaeus 3, 119 b *καὶ ἀρσενικῶς ὁ τάριχος λέγεται παρ' Ἀτ-*

τικοῖς . . . Πλάτων Διὶ κακουμένῳ κτλ. ἐς ταρίχους Cobet. Obs. crit. 101] *ἐστί. ταρίχους. ἀπολέσω* futurum esse non potest. cf. fr. 24. itaque cum Meinekio aut *ὥσθ'* — *ἀπολέσαι*, aut *ὡς* — *ἀπολέσω* scribendum, aut sic constituendum fragmentum *ὥσθ' ἅττ' ἔχω*, | *ταῦτ' εἰς ταρίχους ἀπολέσαι (πάντως με δεῖ)*. loquitur Hercules.

50

κεράτινον εἶχον σκευοφόριον καμπύλον.

Pollux 10, 17 *Πλάτων δὲ ἐν Διὶ κακουμένῳ καὶ τὸ τόξον ἐν παιδιᾷ παρεικάζων ἔφη κτλ.* 7, 132 *τὸ δὲ ξύλον ἐφ' οὗ τὰ σκεύη κατηρτημένα ἔφερον σκευοφορεῖον ὑπὸ Πλάτωνος ἐν Διὶ κακουμένῳ ὠνόμασται. καμπύλον* Iungermannus] *καὶ καμπύλον. κάγκύλον* Meinekius, qui ex gripho haec ducta esse existimat. immo Hercules ab *arcu* omnia sua suspensa gerens intraverat. cum autem non ipse, sed leno aut puella, cui arcus ignotus erat, habitum eius describens loqui videatur, aptius videtur *εἶχεν*.

51

καί τοι φορεῖτε γλῶτταν ἐν ὑποδήμασιν,
στεφανοῦσθ' ὑπογλωττίσιν, ὅταν πίνητέ που,
κἂν καλλιερῆτε, γλῶτταν ἀγαθὴν πέμπετε.

Athenaeus 15, 677a *διὰ δὲ τὴν σὴν γλῶσσαν τῆς ὑπογλωττίδος μνησθήσομαι, ἧς Πλάτων ἐμνήσθη ἐν Διὶ κακουμένῳ κτλ.* 1. *γλῶσσαν* cod. 2. *στεφανοῦσθ'* Porson. Miscell. 44] *στεφάνους δ'*. *ὅταν* Schweighaeus.] *ὅτε. πίνητε*] *πεινῆτε* A. 3. *κἂν* Casaub.] *καὶ. πέμπετε*] *πέμπεται* A. *τέμνετε* Bergkius (Mein. V p. XCIX). Festus (indic. Bothius) *lingula per deminutionem linguae dicta; alias a similitudine exsertae, ut in calceis, alias insertae, i. e. intra dentes coercitae, ut in tibiis.* Athen. 15, 678d *ὑπογλωττὶς δὲ στεφάνου ἐστὶν εἶδος. Θεόδωρος δ' ἐν ταῖς Ἀττικαῖς γλώσσαις στεφάνων πλοκῆς γένος παρὰ Πλάτωνι ἐν Διὶ κακουμένῳ.* Schweighaeuserus conferri iubet Plin. N. h. 11, 93 *hypoglossa folia habet figura silvestris myrti . . . ceu linguas . . . capitis dolorem corona ex his inposita minuit. γλῶτταν ἀγαθὴν πέμπειν* intellego *τὴν ὀλολυγήν*, laetam in re sacra acclamationem. *γλῶτταν ἀγαθὴν τέμνειν* mihi quidem prorsus ignotum. cf. Aristoph. Av. 1705.

52. 53

γλώττης ἀγαθῆς οὐκ ἔστ' ἄμεινον οὐδὲ ἕν.

* * * *

ἡ γλῶττα δύναμιν τοὺς λόγους ἐκτήσατο,
ἐκ τῶν λόγων δ' ἅττ' αὐτὸς ἐπιθυμεῖς ἔχεις.

Orion Schneidewin. 42, 17 *ἐκ Διὸς κακουμένου Πλάτωνος κω-*

μικοῦ κτλ. (v. 1). *ἐκ τοῦ αὐτοῦ δράματος ἡ γλῶττα κτλ.* unius eiusdemque *ῥήσεως* sunt fragmenta 51. 52. 53; contempserat eloquentiam Hercules; iam quam utilis sit docetur.

54

ἐπὶ Μανδροβόλου χωρεῖ.

Schol. Lucian. 111 Iacob. *ἐπὶ Μανδροβούλου χωρεῖ* (hoc verbum add. cod. Paris.), *παροιμία κατὰ τῶν ἐπὶ τὸ χεῖρον προκοπτόντων ἀεί. ὁ γὰρ Μανδρόβουλος οὗτος εὑρὼν ποτε θησαυρὸν ἐν Σάμῳ χρυσοῦν πρόβατον ἀνέθηκε τῇ Ἥρᾳ, τῷ δὲ δευτέρῳ ἔτει ἀργυροῦν, τῷ δὲ τρίτῳ χαλκοῦν* (quae sequuntur addunt Barocc. et Marc.). *μέμνηται Πλάτων ὁ κωμικὸς ἐν Διὶ κακουμένῳ.* Hesych. *ἐπὶ τὰ Μανδραβούλου· παροιμία ἐπὶ τῶν ἀεὶ ἐπὶ τὸ χεῖρον τρεπομένων, ἀπὸ Μανδραβούλου τινός.* Zenob. 3, 82. Diogenian. 4, 62. Greg. Cypr. Mosq. 3, 50, qui paullo aliter rem narrat. Apostol. 7, 78. Lucian. Merced. cond. 21. Aelian. H. an. 12, 40. Diog. L. 4, 5. Suid. *ἐπὶ τὰ Μανδροβόλου* et *ἐπὶ τοῦ Μανδροβόλου.* veram eius nominis formam esse *Μανδρόβολος* conlatis aliis id genus *Μανδρόλυτος, Μανδροκλῆς, Μανδρόδωρος, Μανδρόπολις* Meinekius docuit V 44. Herculem loqui putat Cobetus Obs. crit. 100, ego lenonem, cum ablatis rebus pretiosioribus ab Hercule viliores quoque deinceps non sine contemptu acciperet. verum videtur *ἐπὶ τὰ Μ.*

ΙΩ

55

πρόσφερε δεῦρο δὴ τὴν κεφαλὴν τῆς δέλφακος.

Athenaeus 14, 657a *θηλυκῶς δὲ* (*τὸ δέλφαξ*) . . . *Πλάτων Ἰοῖ κτλ.* videtur trimeter esse *πρόσφερε σὺ* (*προσφέρετε*) *δεῦρο τὴν κ. τ. δ.*

Ad hanc fabulam vel ad cognominem Sannyrionis pertinere videntur quae Eustathius 1484, 26 servavit *αἰγυπτιάσαι* . . . *τὸ ἐπικαῦσαι, οἷον*

χρόαν δὲ τὴν σὴν ἥλιος λάμπων φλογὶ
αἰγυπτιώσει (sic Meinek. pro *αἰγυπτιάσει*).

quibus parodiam inesse Aeschyli Prom. 22 adnotavit idem.

ΚΛΕΟΦΩΝ

Argument. Aristoph. Ran. I *ἐδιδάχθη ἐπὶ Καλλίου τοῦ μετὰ Ἀντιγένη* (Ol. 93, 3) . . *εἰς Λήναια. πρῶτος ἦν· Φρύνιχος δεύτερος Μούσαις· Πλάτων τρίτος Κλεοφῶντι.* Schol. Aristoph. Ran. 679 *καὶ εἰς τοῦτον τὸν δημαγωγὸν* (*Κλεοφῶντα*) *ὅλον δρᾶμα φέρεται καὶ ἐπιγράφεται ὁμωνύμως αὐτῷ Κλεοφῶν.* cf. interpr. Arist. Ran.

679. Eurip. Orest. 770. 903 sq. Andocid. 1, 146. Meinek. I 171 sq. Bergk. R. c. Att. 385—388. Cobet. Obs. crit. 154—165. cum Cleophonte matrem exagitat fr. 56. 60, ut Hermippus et Eupolis matrem Hyperboli.

56

σὲ γάρ, γραῦ, συγκατῴκισεν σαπρὰν
ὀρφῷσι σελαχίοις τε καὶ φάγροις βοράν.

Athenaeus 7, 315 c *Πλάτων Κλεοφῶντι κτλ.* v. 2 Eustath. 1720, 49. Porsonus Advers. 99 *σὲ γάρ τίς, ὦ γραῦ κτλ.* quem infeliciter inpugnat Fritzschius Q. Arist. 255. *ὀρφῷσι* Bergkius R. c. Att. 418] *ὀρφοῖσι.* videtur mater Cleophontis ut in Maricante mater Hyperboli piscibus exposita fuisse (Bergk. R. c. Att. 387) ad similitudinem Andromedae. qua de re non debebat dubitare Cobetus Obs. crit. 149: pro monstris marinis enim pisciculos parodiae causa ut comicus nominavit. simillimus est Amipsiae versus fr. 8: sed risum movet, qui alterum alteri poetam talia surripuisse credit.

57

ἵν' ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου.

Eustathius 1441, 26 *οὕτω καὶ λαγνίστατον, καὶ κλεπτίστατον . . . καὶ Πλάτων Κλεοφῶντι κτλ.* cf. Etymol. m. 31, 13. haud dubie Cleophon significatur, quem tamen eo crimine liberat Lysias 19, 48.

58

ἀλλ' αὐτὸς ἀπαρτὶ τἀλλότρι' οἰχήσει φέρων.

Bekker. Anecd. 418, 27 *ἀπαρτί . . . παρὰ δὲ τοῖς κωμικοῖς τὸ ἐκ τοῦ ἐναντίου . . . Πλάτων Κλεοφῶντι κτλ. αὐτὸς* Bergkius R. c. Att. 384] *αὐτό* cod. quamquam Bekkerus nullam varietatem enotavit. *αὔτ'* Bekkerus et Ruhnken. Hist. crit. XLIV. Cleophontem nescio quis adpellare videtur. fr. 199 cum hoc coniunxit H. Iacobi.

59

ἐψάθαλλε λεῖος ὤν

Bekker. Anecd. 9, 6 *ἀναψαθάλλειν τὸ πέος· ἀνατρίβειν καὶ ἀνακνᾶν καὶ ψηλαφᾶν οἷον πρὸς τὸ πλησιάζειν. Πλάτων ἐν Κλειτοφῶντι κτλ. κλητοφῶντι* cod., *Κλεοφῶντι* Meinek. *πέος* addit Bergkius II 956. Meinekius *πέος ψάθαλλε.* etiam articulum addendum esse adparet *τὸ πέος ἐψάθαλλε* (*ψάθαλλε*) *λεῖος ὤν.* Cleophontem cinaedum dici narrat Schol. Aristoph. Thesm. 805. Bergk. R. c. Att. 387.

60

Schol. Aristoph. Ran. 681 *Πλάτων ἐν Κλεοφῶντι δράματι βαρβαρίζουσαν πρὸς αὐτὸν πεποίηκε τὴν μητέρα. καὶ αὐτὴ δὲ Θρᾷττα ἐλέγετο.*

61

Athenaeus 3, 76 f *Σέλευκος δ' ἐν ταῖς γλώσσαις καὶ γλυκυσίδην τινὰ καλεῖσθαί φησι, σύκῳ τὴν μορφὴν μάλιστα ἐοικυῖαν, φυλάττεσθαι δὲ τὰς γυναῖκας ἐσθίειν διὰ τὸ ποιεῖν ματαϊσμούς, ὡς καὶ Πλάτων ὁ κωμῳδιοποιός φησιν ἐν Κλεοφῶντι.* Plin. N. h. 25, 29 *vetustissima inventu paeonia est nomenque auctoris retinet, quam quidam pentorobon adpellant, alii glycysiden.* cf. 27, 84—87.

62

ἀργύρια

πληθυντικῶς, οὐχ ἑνικῶς. Πλάτων Κλεοφῶντι. Bekker. Anecd. 79, 20.

63

μάραγναν

Πλάτων ὁ κωμικὸς ἐν Κλεοφῶντι τὴν μάστιγα ὠνόμασεν. Pollux 10, 56. *ἀμαράγαν* ABC. proparoxytonon esse docet Herodian. I 256, 25 *μάραγνα ἡ μάστιξ.* cf. Lobeck. Pathol. prol. 304. el. I 129. Paralip. 81 adn. 19 extr. Hesych. *σμαράγνα· μάστιξ, ῥάβδος. καὶ χωρὶς τοῦ σ.* idem *μαράγνᾳ· τῇ ταυρείᾳ. μάραινα· μάστιξ, ῥάβδος, ταυρεία.* est igitur '*scutica e corio bubulo,* Latinis *taurea* (Iuven. 6, 492) et indicat supplicii servilis genus . . . Cleophontem ipsum, servum Thracem, istam poenam aut metuisse aut sensisse' consentaneum est. Cobet. Obs. crit. 151, conl. Aeschin. 2, 76 *Κλεοφῶν . . . ὃν πολλοὶ δεδεμένον ἐν πέδαις ἐμνημόνευον, παρεγγραφεὶς αἰσχρῶς πολίτης.*

Ad Cleophontem fr. 185 refert Cobetus Obs. crit. 152 sq.

ΛΑΙΟΣ

Athenaeus 13, 602 f *φασὶ τῶν τοιούτων (παιδικῶν) ἐρώτων κατάρξασθαι Λάιον ξενωθέντα παρὰ Πέλοπι καὶ ἐρασθέντα τοῦ υἱοῦ αὐτοῦ Χρυσίππου, ὃν καὶ ἁρπάσαντα καὶ ἀναθέμενον εἰς ἅρμα εἰς Θήβας φυγεῖν.* Aelian. H. an. 6, 15 *Λάιος δὲ ἐπὶ Χρυσίππῳ . . . 'τοῦτο οὐκ ἔδρασε, καίτοι τοῦ τῶν ἀρρένων ἔρωτος . . . Ἑλλήνων πρώτιστος ἄρξας.* cf. Aristoph. fr. 438. Plut. Pelopid. 19 init. de Aeschyli tragoedia cognomine cf. Nauck. Trag. fr. p. 28. idem argumentum Euripides Chrysippo tractaverat. Cic. Tusc. 4, 71. Aelian. V. h. 2, 21. Nauck. Trag. gr. fr. 497. Meinek. I 173. 4. unam ex recentioribus Platonis fabulis fuisse Cobetus Obs. crit. 125 conligit

ex Philonidis commemoratione (fr. 64), quem Hanovius Exercit. crit. 28 sq. natum esse Ol. 90 init. vitamque produxisse supra Ol. 107 statuit.

64

οὐχ ὁρᾷς ὅτι
ὁ μὲν Λέαγρος, Γλαύκωνος ὢν μεγάλου γένους,
ἀβελτεροκόκκυξ ἠλίθιος περιέρχεται,
σικνοῦ πέπονος εὐνουχίου κνήμας ἔχων;
Φιλωνίδην δ' οὐ τέτοκεν ἡ μήτηρ ὄνον
τὸν Μελιτέα, κοὐκ ἔπαθεν οὐδέν;

v. 1—4 Athenaeus 2, 68c Πλάτων Λαΐῳ· οὐχ ὁρᾷς — ἔχων. Bekker. Anecd. 27, 24 ἀβελτεροκόκκυξ· ἀβέλτερος καὶ κενός· κόκκυγα λέγουσι τὸν κενὸν καὶ κοῦφον. v. 5. 6 Schol. Aristoph. Plut. 179 κωμῳδεῖται (Φιλωνίδης) ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος, καὶ Πλάτων ἐν Λαΐῳ φησίν· οὐχ ὁρᾷς ὅτι Φιλωνίδην κτλ. cum superioribus haec deletis verbis οὐχ ὁρᾷς ὅτι coniungenda esse monuit H. Iacobi. 2. μὲν Λέαγρος Meinek.] Μελέαγρος. 3. ἀβελτεροκόκκυξ Bergk. Anacr. 257. R. c. Att. 400 ex Bekker. Anecd. 27, 24] κόκκυξ. 5. δ' οὐ H. Iacobi] που Ald. ὄνον τὸν Bentl.] ἀνόητον. κοὐκ] καὶ οὐκ Ald. de *Philonide asino* cf. Theopomp. 4. 5, et de cuculo quae adnotavimus ad Aristoph. Av. 819. cum v. 2 (μεγάλου γένους) Meinekius contulit Av. 763. Sophocl. OR. 1383. ex *Leagri* sorore Callias minor Hipponicum genuit. Andocid. 1, 117 sq., Glauco pater eius, Leagri f. Corcyraeis cum classe praesidio missus est Ol. 86, 4. Thucyd. 1, 51. Meinek. I 174. videtur Laius Iocasten oraculo sine dubio admodum ridiculo perterritam consolari. aliter Cobetus Obs. crit. 125. σικνὸς εὐνουχίας opponitur σπερματίᾳ (Cratin. 136), seminum inanis pleno. Theophr. H. pl. 4, 11, 4 ἔχειν τὴν ἀνθήλην (*paniculam*) ἐλάττω τῶν ἄλλων (καλάμων), τινὰς δὲ ὅλως οὐκ ἔχειν, οὓς καὶ προσαγορεύουσιν εὐνουχίας. Plin. N. h. 16, 170.

65

ἐπινέφελον

Πλάτων Λαΐῳ. Bekker. Anecd. 96, 24. περινέφελον Aristoph. Av. 1193.

66

ἴσσα

τὸ ἐπιχαρτικὸν ἐπιφώνημα. μέμφεται. Πλάτων Λαΐῳ. Bekker. Anecd. 100, 26. δαΐῳ cod. 'μέμφονται inprobant Atticistae'. Meinek. Menandr. Philem. p. 563. cf. Phot. ἴσσα.

Cf. praeterea fr. 148.

ΛΑΚΩΝΕΣ Η ΠΟΙΗΤΑΙ

De auctore antiquitus dubitabatur. Harpocrat. *Σθένελος· ἐκωμῴδει δὲ αὐτὸν ὁ τοὺς Πλάτωνος Λάκωνας γράψας*. Meinek. I 175. peringeniose Cobetus Obs. crit. 87 sq. Aristophanis verba de morte Cratini Pac. 700 sq., *ὅθ' οἱ Λάκωνες ἐνέβαλον*, quae ad Lacedaemoniorum in Atticam inruptiones bellicas pertinere posse iure negat, recte etiam Bergkii (R. c. Att. 187) refutans interpretationem, ad Platonis Lacones rettulit. quae si vera sunt, Cratinum taedio mortuum esse Aristophanes finxerat Platonis Laconibus spectatis, in qua fabula poeta 'exhibuerat hominum temulentorum convivium, qui nimio mero madidi et alias turbas dedisse videntur et vini dolium in tumultu fregisse'. Cobetus 89. 94. itaque Lacones ante Ol. 89, 3 actam videri. ceterum cf. etiam quae ad *Ποιητήν* fabulam adnotavimus.

67

ὅταν δέωμαι γωνιαίου ῥήματος,
τούτῳ παριστῶ καὶ μοχλεύω τὰς πέτρας.

Schol. Dioscorid. Matthaei Med. gr. 361 *γωνιοειδῆ· ἀντὶ τοῦ μέγαν καὶ στερεόν, ὡσεί τις λέγοι γωνιαῖον λίθον. Πλάτων Λάκωσιν κτλ.* Meinekius *ὅταν δὲ — ῥήματος; B. τούτῳ παρίστω κτλ.* nec sic quidem quid hic sibi velit *παρίστασθαι* intellego. videtur potius *παριστῶ* compendio scripturae natum esse ex *τούτῳ π α ρ ι σ ο ῦ μ α ι*. loquitur aliquis poeta tragicus (Sthenelum esse Meinekius conligit ex fr. 70), qui cum sui ingenii inopiam sentiat, ubi *angulari verbo* opus sit, nervosioris poetae vires se aemulari confitetur. cur Morsimum potissimum pronomine *τούτῳ* significari Fritzschius (Ran. p. 104) putet nescio.

68

καὶ μὴν ὅμοσόν μοι μὴ τεθνάναι. B. τὸ σῶμ' ἐγώ,
ψυχὴν δ' ἀνήκειν ὥσπερ Αἰσώπου ποτέ.

Schol. Aristoph. Av. 471 *ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶναι αὐτόν* (*Αἴσωπον*) *φησιν ἐν τοῖς Λάκωσιν οὕτως κτλ.* Suidas *ἀναβιῶναι. καὶ Πλάτων φησὶν ὁ κωμικός κτλ. μὴν*] *νῦν* Suid. *τὸ σῶμ' ἐγώ* om. Schol. *ψυχὴν*] *ψυχὴ* Suid. *ἀνήκειν* anon. ap. Gaisf. Suid.] *αὖ ἥκειν* Schol. *ἀπὸ νίκης* Suid. Kusterus *ἐπανήκειν*. Cobetus Obs. crit. 95 *B. τὸ σῶμά γε,* | *ψυχὴ δ' ἐπανῆκεν*, pro quo Meinekius *ἐπανῆλθεν* dicendum fuisse monet. Toeppelius Progr. Neobrand. 1851, 10 *B. τὸ σῶμ' ἐγώ. A. ψυχὴ δ' ἐπανήκεις ὥσπερ αἰσώπου* (*ἡ Αἰσώπου*) *ποτέ*. quae mihi quidem incredibilia videntur. in v. 1 Cobetum sequor, deinde scribo *ψυχὴν δ' ἀ ν ῆ κ ε ν, ὥσπερ Αἰσώπου ποτέ,* | (*Ἅιδης*). cf. Arist. Ran. 1462. fr. 488, 14. Cratin. 160. Plat. Symp. 179 c (*ὀλίγοις*) *ἔδοσαν τοῦτο γέρας οἱ θεοί, ἐξ Ἅιδου ἀνεῖναι πάλιν*

τὴν ὑστέραν ἀλλὰ τὴν ἐχομένης Ἀκαδημείας [illegible] Cobetus [illegible] [illegible] 2, 134.

69

ἄνδρες δειπνήκασιν ἤδη σχεδὸν ἅπαντες. Β. εὖ γε.
Α. τί οὐ τρέχων σὺ τὰς τραπέζας ἐκφέρεις; ἐγὼ δὲ
νίπτρον παραχέων ἔρχομαι. Β. κἀγὼ δὲ παρακορήσων.
σπονδὰς δ' ἔπειτα παραχέας τὸν κότταβον παροίσω.
τῇ παιδὶ τοὺς αὐλοὺς ἐχρῆν ἤδη προχείρους εἶναι
Athenaeus 7, 327 d *μνημονεύει δὲ αὐτῶν* (*φάγρων*) . . . *Ἀμειψίας ἐν Κόννῳ κτλ. ὀρφῷσι* Bergk. R. c. Att. 418] *ὀρφοῖσι. βορά* Schweigh.] *ασι βορά* A. *ασι* ex proximo *οισ* natum videtur Meinekio. frustra adversantur Fritzschius Q. Arist. 254. Bergk. R. c. Att. 418. hic quod scribit *φάγροισι κάόσιν βορά*, conl. Hesych. *ἀών· ἰχθύς ποιός*, iam propterea inprobandum, quod *ἀόνα* piscem ex solo Epicharmo novimus. ceterum cf. Plat. 56.

9

Σώκρατες ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν δὲ ματαιόταθ', ἥκεις
καὶ σὺ πρὸς ἡμᾶς; καρτερικός γ' εἶ. πόθεν ἄν σοι χλαῖνα γένοιτο;
B. τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ' ἐπήρειαν γεγένηται.
οὗτος μέντοι πεινῶν οὕτως οὐπώποτ' ἔτλη κολακεῦσαι.

Diogenes Laert. 2, 27 *τοῦτο δ' ἔνεστι καὶ παρὰ τῶν κωμῳδιοποιῶν λαβεῖν, οἳ λανθάνουσιν ἑαυτοὺς δι' ὧν σκώπτουσιν ἐπαινοῦντες αὐτόν, Ἀριστοφάνης μὲν . . . Ἀμειψίας δ' ἐν τρίβωνι παράγων αὐτόν φησιν οὕτως κτλ.* ad Connum rettulit Menagius. 1. *ὀλίγῳ* et *πολλῷ* Dobraeus Add. Arist. Acharn. 270. 2. *ἡμᾶς; καρτερικός γ' εἶ.* Cobet in ed. Diog.] *ἡμᾶς καρτερικός τ' εἶ*; contra Fritzschius Q. Arist. 249 'Socrates inter paucos (*φροντιστάς*) viro-

rum optimo, inter multos autem (vanos) vanissime'. inter secundum et tertium versum excidisse quaedam videbantur Hermanno in Nub. praef. XXXVI. non recte: dummodo, ut iam fecit Bothius, alterius personae notatio adponatur. recte enim continuo post *τρίβωνα*, quem deficiente laena gestat, *ἡ ἀνυποδησία* commemoratur. 'Socrates discalceatus' (Fritzsch. 250) sutorum in contumeliam creatus esse dicitur, quod nullam eis quaestus occasionem praebeat.

10

ὥστε ποιοῦντες χρησμοὺς αὐτοὶ
διδόασ' ᾄδειν
Διοπείθει τῷ παραμαινομένῳ.

Schol. Aristoph. Av. 988 *Ἀμειψίας ἐν Κόννῳ κτλ. αὐτοὶ διδόασ' ᾄδειν* Dobraeus] *αὐτοῖς δίδοσθαι δεῖν*. de *Diopithe* cf. Teleclid. 6. *παραμαίνεσθαι* ad analogiam verbi *παραπαίειν* novavit.

11

Athen. 5, 218c *Ἀμειψίας δ' ἐν Κόννῳ . . . οὐ καταριθμεῖ αὐτὸν* (*Πρωταγόραν*) *ἐν τῷ τῶν φροντιστῶν χορῷ.*

12

κλιμακίδα

ἐν Ἀμειψίου Κόννῳ. Pollux 10, 171. Bekker. Anecd. 272, 18 *κλιμακίδες· αἱ τῶν πλοίων ἀποβάθραι.*

ΚΩΜΑΣΤΑΙ

Argument. Aristoph. Av. I *ἐδιδάχθη ἐπὶ Χαβρίου* (Ol. 91, 2) *διὰ Καλλιστράτου ἐν ἄστει, ὃς ἦν δεύτερος τοῖς Ὄρνισι, πρῶτος Ἀμειψίας Κωμασταῖς, τρίτος Φρύνιχος Μονοτρόπῳ.* cf. quae in Avium praef. §. 31 diximus. Meinek. I 204. Comissatores non Amipsiae, sed Phrynichi esse, Amipsiae traditam ut in certamen eam committeret, suspicio est Bergkii. cf. quae ad Phrynichi Comissatores adnotavimus. ac mirum sane est ex comoedia quam Atheniensium iudices scaenici Avibus praetulerint, nullum fragmentum exstare.

ΜΟΙΧΟΙ

Meinek. I 204.

13

καὶ σὺ μὲν . . . ἦλθες καββαλὼν τριώβολον,
καί τί που κἀμαρτύρησας ψεῦδος, ὥστ' ἀνεψύχης.

Suidas *ἀναψυχῆναι· τὸ ἀναψῦξαι λέγουσιν. Ἀμειψίας Μοιχοῖς*

κτλ. idem καββαλὼν ὁ καταβαλών. Ἀμειψίας Μοιχοῖς καὶ σὺ — τριώβολον. καββαλὼν Hermann.] κάββαλες A et in glossa καββαλών BV, κἄβαλες reliqui. κἀμαρτύρησας — ἀνεψύχης Hermann.] κατεμαρτύρησας — ἀνεψύχεις. v. 1 Hermannus -◡- καὶ σὺ μὲν ἂν ἦλθες, Meinekius κᾆτα σὺ μὲν ἀθῷος ἦλθες. necessarium videtur ἀπῆλθες. itaque suppleverim καὶ σὺ μὲν [σωθεὶς ἀπ]ῆλθες κτλ. cf. Archipp. 40. Alexid. 211 et Athen. 11, 463c. Diodor. 2, 13. 20. Menandr. Stob. Flor. 121, 7. Plut. V 565 Wyttenb. v. 6. de ἀναψύχειν Bekker. Anecd. 80, 29. de adultero poeta loqui videtur Meinekio. dubito propter τριώβολον. quamquam ἀνεψύχης de τεφρώσει aptissimum.

14

ἀνέῳγον

καὶ Ἀμειψίας Μοιχοῖς καὶ οἱ νεώτεροι πολλαχοῦ. Bekker. Anecd. 400, 1. Suidas ἀνεῴγεισαν· ἠνοίχθησαν. καὶ ἀνέῳγεν οὐχὶ ἤνοιγεν. καὶ ἀνεῴγετο. λέγει καὶ Ἀμειψίας Μοιχοῖς καὶ οἱ νεώτεροι πολλαχοῦ.

15

μιλτωρυχίαν

Ἀμειψίου ἐν Μοιχοῖς εἰπόντος. Pollux 7, 100. Photius μιλτωρυχία· τόπος ἐν ᾧ μίλτος ὀρύσσεται. οὕτως Ἀμειψίας. Eustath. 310, 34.

ΣΑΠΦΩ

Meinek. I 204.

16

νωθρότερον

ἐν τῇ Ἀμειψίου Σαπφοῖ εὑρήκαμεν. Pollux 9, 138.

ΣΦΕΝΔΟΝΗ

Cf. Meinek. I 204. Tib. Hemsterhusius (Poll. II 1080) nomen ab anulo mutui amoris signo, cuius in pala amicae imago insculpta esset, repetebat, coniectura dubia. Meinekius ex fr. 17 fabulam haud ita multo post Ol. 88, 1 actam esse conlegit.

17

τὸ μὲν δόρυ
μετὰ τῆς ἐπιχάλκου πρὸς Πλαταιαῖς ἀπέβαλεν.

Pollux 10, 144 Ἀμειψίας ἐν Σφενδόνῃ κτλ. sic nulla codicum varietate enotata Bekkerus. Hesych. ἐπίχαλκος· ἀσπίς. ἔχει γὰρ χαλκῆν τὴν ἐπιβολήν. ἔνιοι δὲ βόειαί εἰσιν. Eustath. 905, 59. cf.

Aristoph. Vesp. 17. 18. Calliae fr. 32. Aristophanem secutus Toupius Emend. IIII 239, adsentiente quodammodo Meinekio, *πρὸς Πλαταιαῖς ἀσπίδος | ἀπέβαλεν.* significari aliquem eorum Atheniensium, qui cum magna parte Plataeensium per Lacedaemonios Plataeas obsidentes perruperant, Meinekius monuit conl. Thuc. 3, 20 sq. Diod. Sic. 12, 56.

18

λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον.

Athenaeus 10, 446 d *Ἀμειψίας Σφενδόνῃ κτλ.* 9, 400 c *τὸ μὲν Ἰακὸν λαγός· λαγὸν κτλ. τὸ δὲ λαγὼς Ἀττικόν. λέγουσι δὲ καὶ Ἀττικοὶ λαγός.* Schol. Aristoph. Vesp. 1489 *τὸ μὲν πῖθι ἐπὶ φαρμάκου λέγουσι. καὶ λαγῶν* (sic ille) *κτλ. τὸ δὲ πίε ἐπὶ τοῦ ποτοῦ. πῖθι*] *πεῖθει* 400 c. *λαγὸν* utrubique A] *λαγῶν* schol. Arist. ne *θαλάσσιον* quidem in *θαλάττιον* mutandum est. videtur enim medicus Ionicus loqui. nam de medicamento quoque *ταράξας*. Lucian. Lexiph. 4 *ταράξας καὶ ἐγχέας μοι φάρμακον.* cf. Fritzsch. Daetal. 104. addit Meinekius Nicandr. Theriac. 665. 936. Erasistr. Athen. 7, 324 a. de *lepore marino* Plut. Mor. 983 f *τὸν θαλάττιον λαγωόν, ὅς ἐστιν ἀνθρώπῳ θανάσιμος, κτείνουσιν αἱ τρίγλαι.* Philostr. Vit. Apollon. 6, 32 *ὑπὸ τοῦ θαλαττίου λαγὼ ἀποθανεῖν, τὸν δὲ ἰχθὺν τοῦτον παρέχεσθαι χυμοὺς ἀπορρήτους ὑπὲρ πάντα τὰ . . . ἀνδροφόνα.* Plin. N. h. 9, 155. 32, 8. 9.

19

κοὐδείς σοὔστὶν τῶν πλουτούντων, μὰ τὸν Ἥφαιστον, προσόμοιος,
καλλιτράπεζος καὶ βουλόμενος λιπαρὸν ψωμὸν καταπίνειν.

Athenaeus 6, 270 f *κατὰ Ἀμειψίαν, ὅς ἐν Σφενδόνῃ ἔφη κτλ. σοὔστὶν* (i. e. *σοι ἐστὶν*) Dindorf.] *σοῦ 'στι* A. *ψωμὸν* A] *ζωμὸν* P. *καταπίνειν* de cibis non minus quam de potione dicitur: quapropter non opus est quod Bergkius R. c. Att. 421 unice probat *ζωμόν. καλλιτράπεζος* etiam Call. 5.

20

Pollux 9, 96 *ἐν δὲ τῇ τοῦ Ἀμειψίου Σφενδόνῃ ὅ τε τρόπος δεδήλωται τῆς κυβείας καὶ προσείρηται ὅτι εἴη τὸ τρῆμα μνααῖον, ὡς μνᾶν αὐτῶν ἐπιδιατεθειμένων ἑκάστῳ κύβῳ.* '*τρῆμα* hic idem quod antea (9, 95) *τρύπημα*, *punctus in tessera*, *τὸ δηλοῦν τὸν ἀριθμὸν τῶν βληθέντων.* id *μνααῖον* vocat, quia mina erat proposita in singulas tesseras vincenti praemium'. Iungermann. nos 'das Point galt eine Mine'.

21

κατὰ χειρὸς ὕδωρ

ὡς Εὔπολις ἐν Χρυσῷ γένει καὶ Ἀμειψίας Σφενδόνῃ. Athenaeus 9, 408 e.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

22

Α. αὔλει μοι μέλος,
σὺ δ' ᾆδε πρὸς τήνδ'· ἐκπίομαι δ' ἐγὼ τέως.
Β. αὔλει σύ, καὶ σὺ τὴν ἄμυστιν λάμβανε.
'οὐ χρὴ πόλλ' ἔχειν θνητὸν ἄνθρωπον,
ἀλλ' ἐρᾶν καὶ κατεσθίειν· σὺ δὲ κάρτα φείδῃ.'

Athenaeus 11, 783 e ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους, μεμετρημένου πρὸς ὠκύτητα χρόνου, ὡς Ἀμειψίας κτλ. 2. σὺ δ' ᾆδε πρός, τήνδ' ἐκπίομαι (i. e. τὴν κύλικα) Iacobs. Addit. Ath. 249. Cobet. Obs. crit. 62 σὺ δ' ᾆδε, τήνδ' (τὴν δ') ἐγὼ τέως ἐκπίομαι, quam emendationem audacissimam iure dicit Meinekius V 52. 3. καὶ σὺ add. Iacobs. κᾆτα Meinekius in ed. min. 4. ἄνθρωπον] ἄνθρωπον ὄντ' Meinek., numeris creticis. 5. κατεσθίειν] κἀσθίειν idem. κάρτα φείδῃ] κάρτ' ἀφειδής Meinekius. πρὸς τήνδε qui v. 2 coniungunt, tibicinam intellegunt. Dobr. Advers. II 330. at ᾄδειν πρὸς αὐλόν dicitur, cf. Aristoph. Eq. 578. Vesp. 1420. Pac. 19. Lys. 628. Ran. 415. 611. Plut. 1001, ᾄδειν πρὸς αὐλητρίδα quod sciam non dicitur. versus nondum persanatus videtur. ad Apocottabizontas Bergkius refert R. c. Att. 368. iubet aliquis tibicinam modos canendi praeire, alium ex sodalibus carmen canere, dum ipse ἄμυστιν bibat. tum ille '*infla tibias*', inquit ad tibicinam conversus, '*et tu*', ad alterum qui ἄμυστιν bibere volebat, '*poculum sume*'. quo facto ipse scolium canit. recte Meinekius φείδεσθαι nullo casu addito dici posse negavit: verbis σὺ δὲ κάρτ' ἀφειδής qui scolium canit potantem (A) compellat, quia vini nimis cupidus esse videtur (τήνδε τὴν ἄμυστιν πίομαι).

23

εἰ μὲν θανοῦσιν ἔστι τις τιμὴ κάτω,
καταβῶμεν.

Schol. Aristoph. Vesp. 1169 εἰ δὲ μὴ ἀπεσχεδίασται τὸ διαλυκώνισον, τάχα ἂν λέγοιτο ἀπὸ Λύκου πεντάθλου· φαίνεται γάρ τις καὶ μαλακώτερος γενέσθαι. Ἀμειψίας κτλ. μὲν — τιμὴ κάτω Meinek.] μὴ — τιμὴ (τις μὴ Ald.). verba scholiastae Meinekius sic corrigit ἀπὸ Λύκωνος Αὐτολύκου πεντάθλου, Lyconem Autolyci pancratiastae patrem haec apud Amipsiam loqui putans. cf. Eupol.

Autolyc. mihi non liquet qua ratione poetae verba cum reliquis cohaereant.

24

ἔρρ' ἐς κόρακας, μονοφάγε καὶ τοιχωρύχε.

Athenaeus 1, 8e ὅτι τὸ μονοφαγεῖν ἐστιν ἐν χρήσει τοῖς παλαιοῖς . . . Ἀμειψίας κτλ. μονοφάγος hic is est *qui solus cenat*. cf. Plat. 207. Aristoph. Vesp. 923.

25

οὐ σχῖνος οὐδ' ἀσφάραγος, οὐ δάφνης κλάδοι

Athenaeus 2, 62f Ἀμειψίας κτλ. scribendum duco οὐκ ἀσφάραγος. cf. Aristoph. fr. 317. Lobeck. Phrynich. 110.

26

ἐπ' αὐτὸν ἥκεις τὸν βατῆρα τῆς θύρας.

Pollux 2, 200 βατὴρ ὁ οὐδός, ἐφ' οὗ καὶ βαίνομεν, ὡς Ἀμειψίας κτλ. Diogenian. 3, 38 αὐτὸν κέκρουκας τὸν βατῆρα τῆς θύρας· οἷον ἐπ' αὐτὰ ἀφῖξαι τὰ πράγματα. cf. Apostol. 4, 31. Suidas αὐτὸν κέκρουκας κτλ. ἐπὶ τῶν ἀληθευόντων· οἷον ἐπ' αὐτὴν ἐλήλυθας τὴν ἀλήθειαν. Milleri Mélanges 382 αὐτὸν τὶν βοτῆρα (scr. βατῆρα) ἔκρουσεν· ἐπὶ τῶν τυγχανόντων ὧν ἐφίενται. Eustath. 1404, 58.

27

Schol. Aristoph. Plut. 883 δακτύλιον δὲ τὸν λεγόμενον φαρμακίτην Εὔπολις Βάπταις μέμνηται. ὁ δ' Εὔδαμος φαρμακοπώλης, καὶ Ἀμειψίας. verba καὶ Ἀμειψίας (exspect. ὡς καὶ Ἀμ.) post μέμνηται transposuit Kusterus. quod si verum est, non Eudamum, sed anulum magicum commemoravit Amipsias. cf. Cratin. 299. Eupol. 87. Aristoph. fr. 250.

28

Vita Aristoph. XXVII 10 Duebn. διὸ καὶ ἔσκωπτον αὐτὸν (Ἀριστοφάνη) Ἀριστώνυμός τε καὶ Ἀμειψίας τετράδι λέγοντες γεγονέναι. cf. Plat. 100.

29

ἄκοπος ἀνήρ

ἀντὶ τοῦ οὐδέπω ἠνοχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας. Bekker. Anecd. 365, 30 et Suidas.

30

ἀναβιβῶμαι

ἀντὶ τοῦ ἀναβιβάσομαι. Ἀμειψίας. Suidas et Zonaras 195.

31

ἀνήκω

Ἀμειψίας ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη. Bekker. Anecd. 403, 5 et Suidas. sed Suidas *ἀνῆκα.*

32

ἀνίστω

ἀντὶ τοῦ ἀνίστασο. οὕτως Ἀμειψίας. Bekker. Anecd. 405, 15 et Suidas *ἀνίστη.*

33

ἀποσεσύκασται

τετρύγηται. Ἀμειψίας. Bekker. Anecd. 435, 9. paullo aliter Etym. m. 125, 49 et Hesych. *ἀποσεσύκασται· τὰ σῦκα ἀποβέβληκε βρωθέντα.*

34

νεογύνην

τὸν νεόγαμον Ἀμειψίας ὠνόμασε. Pollux 3, 48.

35

ὀρίγανον

οὐδετέρως Ἐπίχαρμος καὶ Ἀμειψίας. Athenaeus 2, 68b.

36

ὀφρυάζειν

ὁ κωμικὸς Ἀμειψίας τὸ νεύειν εἴρηκε. Pollux 2, 50. cf. Porson. Advers. 285. Hesychius *ὀφρυάζει· ταῖς ὀφρύσι νεύει.* aliter Photius *ὀφρυάζειν· τὸ συνάγειν τὰς ὀφρῦς.* ac cum Pollux 2, 49 interpretetur *τὰς ὀφρῦς συνάγων ὁ φροντιστής,* Fritzschius Q. Arist. 256 ad Connum hoc fragmentum rettulit, coniectura admodum incerta.

37

σκότος καὶ σκότον

ἑκατέρως. οὕτως Ἀμειψίας. Photius. *σκότον* casu accusativo Amipsias videtur dixisse. Soph. OC. 106.

38

στρωματόδεσμον

καὶ ἀρρενικῶς καὶ οὐδετέρως. Ἀμειψίας. Bekker. Anecd. 113, 26. Phryn. Epit. 401 *στρωματόδεσμος ἀρχαῖον καὶ δόκιμον. λέγε οὖν ἀρσενικῶς καὶ οὐδετέρως.* ubi cf. Lobeck.

ΑΡΧΙΠΠΟΣ

Meinek. I 205 sq.

ΑΜΦΙΤΡΥΩΝ

Latinam scripsit Plautus. quam cave credas ex graeca simpliciter conversam esse. nam qua ratione comici Romani Graecis usi sint facile docet Terent. Andr. prol. duplicem Archippeae fabulae recensionem omnes fere testantur qui fragmenta servarunt. cf. etiam Meinek. I 208.

1

καὶ ταῦτ' ἔχων τὸ ῥύγχος οὑτωσὶ μακρόν

Athenaeus 3, 95 e *Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ κατὰ παιδιὰν εἶπε (τὸ ῥύγχος) καὶ ἐπὶ τοῦ προσώπου οὕτως κτλ.* cf. Cratin. 440. Eupol. 260. Aristoph. fr. 461. Strattid. 7. Arar. 1. scilicet *τὸ πρόσωπον*, Iovis opinor, tam procerum erat ut instar *ῥύγχους* esset.

2

τίς ἐκέρασε σφῷν, ὦ κακόδαιμον, ἴσον ἴσῳ;

Athenaeus 10, 426 b *εἰπόντος τινὸς Ἄρχιππον εἰρηκέναι ἐν δευτέρῳ Ἀμφιτρύωνι κτλ.* Schweighaeuserus *κακοδαίμον'*. quod non necessarium est. cf. Plat. Protag. 311 d extr. Reisig. Coniect. 237.

3

ἀναλέγειν

ἀντὶ τοῦ ἐκλέγειν. Ἄρχιππος Ἀμφιτρύωνι. Bekker. Anecd. 83, 20.

4

ἀσκοθύλακον

Διοκλῆς Βάκχαις καὶ Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ. Bekker. Anecd. 452, 28. 'significatur pera, in qua vinum et cibaria recondebant.' Meinek. cf. Aristoph. fr. 174. Diocl. 3. Alexid. 84, 4.

5

ἐπενώτισεν

ἐφώρμησεν. (Ἄρχιππος) Ἀμφιτρύωνι δευτέρῳ. Hesychius. Meinekius comparavit Eurip. Herc. fur. 362, quem versum alii aliter interpretantur. melius confertur *νωτίσαι* Sophocl. OR. 193.

6

ὦ κύων

διὰ τοῦ ω. Ἄρχιππος Ἀμφιτρύωνι. Bekker. Anecd. 105, 16.

7

τὸ σκύφος

Ἄρχιππος ἐν Ἀμφιτρύωνι (*δευτέρῳ* add. Meinek.) *οὐδετέρως εἴρηκε.* Athen. 11, 499 b.

ΗΡΑΚΛΗΣ ΓΑΜΩΝ

Meinek. I 208.

8

ἀνδρῶν ἄριστος καὶ μάλιστ' ἐμοὶ ξένος,
ἀτὰρ παρ' ἐμοί γ' ὢν εἶχεν οὐδὲ σύμβολον.

Pollux 9, 72 *διελέγχουσι δὲ αὐτὸ* (*τὸ σύμβολον*) *σμικρόν τι δύνασθαι, Ἀριστοφάνης μὲν . . . Ἄρχιππος δὲ εἰπὼν ἐν Ἡρακλεῖ γαμοῦντι κτλ.* sine dubio haec de Hercule ipso, ac fortasse socer dicebat. duo conloqui opinatur Naberus Mnem. nov. VIII 38.

9

τράπεζα δ' ἰτρίοισιν ἐπιφορήμασί τ'
ἄλλοις γέμουσα

Athenaeus 14, 640 f *Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι ἐπιφορήματα καλεῖ διὰ τούτων κτλ. τράπεζα* addendum esse Meinekius monuit in ed. mai. *ἰτρίοισιν* K.] *ἰτρίοις.* aliter Meinekius, Bergkius R. c. Att. 377, Dobr. Advers. II 348. de *ἰτρίοις* cf. Pherecr. 45 et de elisa in extremo versu vocali quae ad Aristoph. Av. 1716 adnotavimus.

10

τὸ πῦρ πολὺ λίαν· ὕπαγε τὰς ἀκροβελίδας.

Bekker. Anecd. 371, 28 *ἀκροβελίδας· τὰ ἄκρα τῶν ὀβελίσκων. Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι κτλ. ἀκροβελίδας* Bergk. R. c. Att. 377] *ἀκροβελίδας ἄκρας.* ad epulas Herculis nuptiales et haec pertinent et 9. 11. 12.

11

ταδὶ δ' ἅμα χοίρων ἀκροκώλια μικρῶν,
ταύρου τ' αὐξίκερω φλογίδες,
αἵ δολιχαί τε κάπρου σχελίδες.

Athenaeus 14, 656 b *τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες . . . Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι κτλ. ταδὶ δ' ἅμα* Meinek.] *τὰ δίδαλλα* A.

2. τ' αὐξίκερω φλογίδες Dindorf.] ταξικερωφλογίδες BP et ut Dindorfius suspicatur A. ταύρων τ' ὀξύκερων Bothius. 3. σχελίδες Meinek.] φλογίδες. om. Bergk. R. c. Att. 377.

12

νῆστεις, κεστρέας, κεφάλους

Athenaeus 7, 307 d ὅτι δὲ εἶδος κεστρέων οἱ νῆστεις Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησι κτλ. his verbis nequaquam demonstratur Archippum νῆστεις pro κεστρέων genere habuisse. versus constitui potest variis modis.

13

ἁλία πυξίνη

Pollux 10, 169 ἁλία δὲ σκεῦός τι ἦν πύξινον, ἐν ᾧ τοὺς ἅλας ἐντρίβουσιν. Ἄρχιππος μέν γε ἐν Ἡρακλεῖ γαμοῦντί φησιν κτλ.

ΙΧΘΥΕΣ

Celeberrima poetae fabula, acta non ita multa post Ol. 94, 2. cf. fr. 27. Meinek. I 205 sq. Bergk. R. c. Att. 377 sq. — piscariorum nequitiam ea traductam esse putabat Hemsterhusius Poll. 10, 30, rectius vesanam Atheniensium ἰχθυοφαγίαν argumentum fuisse comoediae Meinekius statuit. chorus erat piscium, qui ut tandem hominum iniurias ulciscerentur bellum eis indixerunt. eo composito pax facta est ea condicione, ut redditis captivis Athenienses eos quos piscium cupidissimos esse constaret hostibus devorandos traderent. ceterum ex Piscium fragmentis quam frigidum fuerit et molestum in iocis ex nominibus aucupandis Archippi ingenium optime cognoscitur.

14

αἱρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν, (εἶτα δοκιμάζειν) πάλιν.
ἢν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν
ἀπαξάπαντας γενομένους παλιναιρέτους.

Harpocratio 142, 25 ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας καὶ πάλιν χειροτονηθέντας ... δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων κτλ. εἶτα δοκιμάζειν add. Porson. Advers. 281. perstringitur perversa Atheninesium reipublicae administrandae ratio.

15

A. τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάττιοι;
B. γαλεοί γε πάντων μάντεων σοφώτατοι.

Stephanus Byz. Γαλεῶται μάντεων εἶδος Σικελῶν. γαλεὸς δὲ καὶ ὁ ἀσκαλαβώτης . . . Ἄρχιππος Ἰχθύσι κτλ. Herodian. I 113, 8. Hesych. Γαλεοί· μάντεις· οὗτοι κατὰ τὴν Σικελίαν ᾤκησαν. καὶ γένος τι, ὥς φησι Φανόδημος καὶ Ῥίνθων Ταραντῖνος. τί λέγεις σύ; μάντεις PpV] τί λέγεις; σὺ μάντις AR. θαλάττιοι Meinek.] θαλάσσιοι. σοφώτατοι] σοφώτατον R. hic γαλεός non ἀσκαλαβώτης est, sed piscis, de quo cf. Athen. 7, 294c — 295b. et de Galeotis Cic. De divin. 1, 39 *interpretes portentorum*, *qui Galeotae tum in Sicilia nominabantur*. Aelian. V. h. 12, 46. ex ea parte fabulae haec desumpta esse suspicatur Meinekius, in qua de sacris agebatur. I 207. cf. 23.

16

καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἐντυχὼν
ἑψητός.

Athenaeus 7, 301a ἑψητὸς ἐπὶ τῶν λεπτῶν ἰχθυδίων . . . Ἄρχιππος Ἰχθύσι κτλ. ἐντυχὼν ἑψητός Meinek.] ἑψητὸς ἐντυχών. Elmsl. Edinb. Rev. XVIIII 88 καταπέπωχ' ἑψητὸς ἐντυχών τις (tetr. iamb.). ad proelii inter pisces et lurcones commissi descriptionem haec refert Meinekius I 207. Ἀφύη meretricularum cognomen est. Athen. 13, 586b Σταγόνιον καὶ Ἄνθις ἀφύαι ἐκαλοῦντο, ὅτι καὶ λευκαὶ καὶ λεπταὶ οὖσαι τοὺς ὀφθαλμοὺς μεγάλους εἶχον. minus bene Bekker. Anecd. 203, 15. etiam in voce ἑψητός iocum poeta videtur quaesivisse, siquidem eo nomine adpellabantur homines lascivi. cf. Nicoph. 18. Bergk. R. c. Att. 378.

17

ἱερεὺς γὰρ ἦλθ' αὐτοῖσιν ὀρφὼς τοῦ θεοῦ.

Athenaeus 7, 315b Ἄρχιππος δ' ἐν Ἰχθύσιν κτλ. ac paullo post τὴν μέντοι ἐνικὴν εὐθεῖαν (ὀρφώς) ὀξυτόνως προφέρονται Ἀττικοί. Ἄρχιππος Ἰχθύσιν, ὡς πρόκειται. τοῦ θεοῦ VL] τοῦ θεῶν (οῦ suprascr.) P. τοῦ θεῶν A. του θεῶν Schweighaeus. iocum quaesivit ex nominum ὀρφώς et Ὀρφεύς similitudine, qui sacerdos Bacchi (τοῦ θεοῦ, non του) dicebatur fuisse. Preller. Myth. gr.[2] I 381. II 323n. 4. 486. 490. cf. Pherecr. 39. Plin. N. h. 32, 152 *adiciemus ab Ovidio posita nomina quae apud neminem alium* (?) *reperiuntur: bovem . . . orphum rubentem . . . aureique coloris chryson* (fr. 18). non dubito quin aut huic aut fr. 18 similive versui subiecta fuerint κίθαρός τε Φοίβου.

18

ἱερεὺς Ἀφροδίτης χρύσοφρυς Κυθηρίας.

Athenaeus 7, 328a Ἄρχιππος ἐν Ἰχθύσιν κτλ. ἱερεὺς ante Cobetum N. l. 141 Bothius] ἱεροὺς A. Κυθηρίας] κυθερείας C suprascr.

κυθηρίας. Venus sane vulgo est *Κυθέρεια*. Matron Athen. 4, 136 a (v. 30) *χρύσοφρυς, ὃς κάλλιστος ἐν ἄλλοις ἵσταται ἰχθύς*. Callimachus in Galatea *χρύσοφρυν* dixit esse *ἱερὸν ἰχθύν*. Athen. 7, 284 d. cf. etiam 328 b.

19

ἐκήρυξεν βόαξ,
σάλπης δ' ἐσάλπιγξ' ἑπτ' ὀβολοὺς μισθὸν φέρων.

Athenaeus 7, 322 a *Ἄρχιππος δὲ ἐν Ἰχθύσιν ἀρσενικῶς εἶπεν ὁ σάλπης κτλ. ἐκήρυξεν βόαξ* Meinek. Menandr. 126] *κῆρυξ μὲν ἐβόαξ* A. Bergk. R. c. Att. 378 *κῆρυξ μὲν ἐβόησεν βόαξ*. adsentior Meinekio. vulgo *ἡ σάλπη* dicebatur, quem piscem Archestratus Athen. 7, 321 e pravum per omne tempus iudicabat. cf. etiam Athen. 7, 305 d. 321 d. praeconis igitur partes in piscium exercitu *βόαξ*, tubicinis *σάλπη(ς)* agebat.

20

Athenaeus 7, 277 f *μνημονεύει δ' αὐτῶν (τῶν ἀμιῶν) Ἄρχιππος ἐν Ἰχθύσι λέγων οὕτως· ὅτε δ' ἤσθες ἀμίας παχείας*. Meinekius aut *ὅτε δ' ἤσθιες | ἀμίας παχείας*, aut *ὅτε δ' ἤσθες ἀμίας τὰς παχείας*. cf. Anal. Ath. 121. etiam *ἀμίας* nomine piscem simul et hominem significari idem censet Meinek. I 207.

21

κύαθον ἐπριάμην παρὰ Δαισίου.

Athenaeus 10, 424 b *κύαθον δ' ἐπὶ τοῦ ἀντλητῆρος . . . Ἄρχιππος Ἰχθύσι κτλ.* Daesias ignotus alioqui poculorum caelator. initio desunt tres quattuorve syllabae.

22

τὴν ἀγορὰν μυληκόρῳ

Pollux 10, 29 *καὶ μυλήκορον ἄν τις αὐτὸ (τὸ κόρημα) καλέσειε· καί τοι σαφὲς ὅτι τοῦτο τῷ μύλωνι προσήκει. ἀλλ' ὅμως Ἄρχιππος εἴρηκεν ἐν Ἰχθύσι κτλ.*

23. 24

κῆρυξ θαλάττης τρόφιμος υἱὸς πορφυρᾶς.
* * * *
λεπάσιν, ἐχίνοις, ἐσχάραις, βελόναις τε τοῖς κτεσίν τε.

Athenaeus 3, 86 c *Ἄρχιππος δ' ἐν Ἰχθύσι· λεπάσιν κτλ. . . . περὶ δὲ τῶν κηρύκων ὁ Ἄρχιππος τάδε λέγει· κῆρυξ κτλ.* 3, 90 f *μνημονεύει δ' αὐτῶν (κτενῶν) καὶ Ἄρχιππος ἐν Ἰχθύσιν· λεπάσιν κτλ.* cf. 3, 86 c *Σπεύσιππος . . . παραπλήσια εἶναι κήρυκας, πορφύρας, στραβήλους, κόγχους. θαλάττης — πορφυρᾶς* K.] *Θαλάσσης*

— *πορφύρας*. Thalatta et Porphyra simul Atticarum mulierum sunt nomina. atque etiam Cerycum familiam respici Meinekius arbitratur I 207. cf. Athen. 6, 234ef. 14, 660a. Schoemann. Antiq. gr.[2] II 399. 400. — in fr. 24 *κτέσὶν* Elmsl. Edinb. Rev. XXXVII 88] *κτένεσι. κτέσιν* B. *ἐσχάροις* et pro *τε τοῖς* scribendum esse *βάτοις* demonstravi Mus. Rhen. XXX 401. 2. hic quoque versus quamquam videtur tetrameter esse, in trimetrorum formam redigi potest, dum modo incidas post *βάτοις*.

25

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων κάπηλος,
Ἕρμαιος, ὃς βίᾳ δέρων ῥίνας γαλεούς τε πωλεῖ
καὶ τοὺς λάβρακας ἐντερεύων, ὡς λέγουσιν ἡμῖν.

Athenaeus 6, 227a *ἐξ ὀνόματος δ' ἰχθυοπώλου μνημονεύει Ἑρμαίου Αἰγυπτίου Ἄρχιππος ἐν Ἰχθύσιν οὕτως κτλ.* 7, 311e *Ἄρχιππος ἐν Ἰχθύσι μνημονεύων τῶν λαβράκων φησίν· Αἰγύπτιος — ἐντερεύων.* 2. *ῥίνας*] *ῥείνας* A 227a, *ῥῖνας* A 311e. 3. *τοὺς* om. 227a. *ἐντερεύων*] *ἐντέρων* 227a. loquuntur ut videntur (*ἡμῖν* 3) pisces ipsi. videtur enim imitari poeta Aristophanem Av. 1079—1086, quamquam tetrametri iambici epirrhemati quidem non conveniunt. *Αἰγύπτιος*. cf. Strattid. 33. ceterum *ῥίνη* est *τῶν σελαχίων*. Athen. 8, 356d.

26

τοὺς μαιώτας καὶ σαπέρδας καὶ γλάνιδας

Athenaeus 7, 312a (*μαιωτῶν*) *μνημονεύει Ἄρχιππος ἐν Ἰχθύσι διὰ τούτων κτλ.* Persius Sat. 5, 134 *et quid agas cogitas? saperdas advehe Ponto*. tetrametri anapaestici (vel dimetrorum) reliquiae.

27

ἀποδοῦναι δ' ὅσα ἔχομεν ἀλλήλων, ἡμᾶς μὲν τὰς Θράττας καὶ τὴν Ἀθερίνην αὐλητρίδα καὶ Σηπίαν τὴν Θύρσου καὶ τοὺς Τριγλίας καὶ Εὐκλείδην τὸν ἄρξαντα καὶ Ἀναγυρουντόθεν τοὺς Κορακίωνας καὶ Κωβιοῦ τοῦ Σαλαμινίου τόκον καὶ Βάτραχον τὸν πάρεδρον τὸν ἐξ Ὠρεοῦ.

Athenaeus 7, 329b *φέρε εἴπωμεν τίνες εἰσὶν αἱ παρὰ Ἀρχίππῳ ἐν Ἰχθύσι τῷ δράματι Θρᾷτται. κατὰ τὰς συγγραφὰς γὰρ τῶν ἰχθύων καὶ Ἀθηναίων ταυτὶ πεποίηκεν κτλ. Κορακίωνας* Bergk. R. c. Att. 379] *κορακιῶντας. κορακιῶνας* C. *Σαλαμινίου*] *Σαλαμίνου* BP. sunt haec ex altera parte foederis Atheniensium cum piscibus, oratione soluta scripti (Arist. Thesm. 295sq.), excerpta; altera parte eorum nomina continebantur, quos Athenienses piscibus se tradituros esse promitterent (28). *αἱ Θρᾷτται* sunt matres eorum,

quorum de civitate dubitabatur, veluti Cleophontis. qualis piscis sit θρᾷττα, Athenaeus exponit 7, 329 de. *Atherine* aliunde non cognita; ἀθερίνη piscis Athen. 7, 285 a. 300 f. *Sepia* meretrix est Antiphan. 26. de *Sepia Thyrsi* cf. Aristoph. fr. 396. *Triglias* Meinekio viri nomen videtur esse posse. sed difficile est dicere cur plurali numero poeta usus sit. τὰς Τρίγλας vel Τριγλίδας Schweighaeuserus, nomine ambiguo inter pisces et meretrices. *Euclidis* archontis nomen τῶν κλειδῶν memoriam revocat, quae inter salsamenta Athenaeus 7, 303 a commemorat. *Coraciones* Casaubono fratres videntur fuisse piscatores vel piscium venditores, pisces sunt et κόρακες et κορακῖνοι. de *Cobio* Salaminio non constat. cf. tamen Antiphan. 26, 19. Alexid. Athen. 4, 134 c (v. 4). 6, 242 d (v. 2). cognomen magis quam nomen videtur fuisse. *Batrachus*, triginta tyrannorum tempore famosissimus index, commemoratur etiam Lys. 6, 45. 12, 48. fr. p. 182 Turic. Bergk. R. c. Att. 380.

28

Athenaeus 8, 343 c ἐν τοῖς Ἰχθύσιν Ἄρχιππος τῷ δράματι ὡς ὀψοφάγον (Μελάνθιον) δήσας παραδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον. de *Melanthio* cf. Pherecr. 139. Meinek. I 205. 6. Bergk. R. c. Att. 340.

29

ἄνδρες ἰχθύες

κατὰ τὸν Ἄρχιππον. Athenaeus 7, 331 c. honorifica illa adpellatione legati Atheniensium pisces videntur adlocuti esse. confert Meinekius ἄνδρες Τρίτωνες Timaei Athen. 2, 37 d. ἄνδρες θεοί Lucian. Iupp. trag. 15. ὦ ἄνδρες κύνες Athen. 4, 160 b '*ihr Herren Hunde*'.

30

Schol. Platon. 330 Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβάδαν αὐτὸν (Ἄνυτον) εἶπεν παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει.

31

τὴν ἀρτόπωλιν, τὴν παντοπωλίαν

εἶπεν Ἄρχιππος ἐν Ἰχθύσιν. Pollux 7, 16. τὴν ἀρτόπωλιν om. C. 'an παντόπωλιν?' Bekkerus. τὴν παντοπωλίαν om. A.

32

νακοτιλτοῦντας

Ἄρχιππος ἐν Ἰχθύσιν εἴρηκεν. Pollux 7, 28.

ΟΝΟΥ ΣΚΙΑ

Schol. Aristoph. Ald. Vesp. 191 et Zenob. 6, 28 *καὶ Ἀρχίππῳ δὲ κωμῳδία γέγονεν Ὄνου σκιά.* Photius 338, 19 *Ἀριστοτέλης δὲ ἐν Διδασκαλίαις καὶ δράματός τινος φέρει ἐπιγραφήν, Ὄνου σκιάν.* Meinek. I 208.

33

τροχιλίαισι ταῦτα καὶ τοπείοις
ἱστᾶσιν οὐκ ἄνευ πόνου.

Harpocratio 176, 12 *τοπεῖα λέγουσι τὰ σχοινία . . . Ἄρχιππος Ὄνῳ κτλ. τροχιλίαισι* Meinek. et Dobr. Advers. 589] *τροχηλίαις. τραχηλίαις* A. *τραχηρίαις* B.

34

ὀμώμοκα

Ἄρχιππος Ὄνῳ. Photius. formam nequaquam insolentem cur mentione dignam duxerit nescio.

ΠΛΟΥΤΟΣ

Ut nomen, sic etiam argumentum quodammodo Aristophaneae fabulae videtur simile fuisse. Meinek. I 208.

35

A. οἴμοι. B. τί ἔστι; . . . μῶν ἔδακέ τί σε;
A. ἔδακε; κατὰ μὲν οὖν ἔφαγε κἀπέβρυξέ τις.
B. τίς ἡ πανουργία τε καὶ θεοσεχθρία;

Schol. Aristoph. Vesp. 418 *Ἄρχιππος ἐν Πλούτῳ κτλ. οἴμοι] οἴμοι τάλας* Herwerd. Obs. crit. 34. *ἔδακέ* (sic Flor. Christian.) *τί σε;* Meinek.] *ἔδωκε; τί σ'.* 2. *ἔδακε* Meinek.] *ἔδακεν. κἀπέβρυξέ τις* Meinek.] *κἀπέβρυξε.* 3. *ἡ* Meinek.] *ἤ. θεοσεχθρία] θεοσεχθρα* (sine accent.) V. *θεὸς ἐχθρία* G. aliter G. Hermann. Eurip. Iph. T. 192. Dindorfius *A. οἴμοι. B. τί ἔστι; μῶν ἔδωκε; τί σ' ἔδακεν; A. κατὰ μὲν οὖν ἔφαγε κἄβρυξέ με κτλ.* alterum versum dochmiacum iambice logaoedicum, ni fallor, esse voluit. de nomine *θεοσεχθρία* cf. Lobeck. Pathol. el. I 311.

36

ἔστιν δέ μοι πρόφασις καλῶς εὑρημένη·
τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον.

Schol. Aristoph. Av. 1648 *τῷ διαβάλλεσθαι χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν, ὡς καὶ Ἄρχιππος ἐν Πλούτῳ κτλ.* v. 2 Suidas *διαβάλλεται* et Zonaras 528. *εὑρημένη* Bentl.] *εἰρημένη. διαβαλοῦμαι] διαβαλοῦμεν* cod. Suidae praeter AVE.

37

νῦν ὡς ἐγενόμην χρημάτων ἐπήβολος

Etymol. m. 357, 26 *Ἄρχιππος, πλουτῶν (Πλούτῳ) νῦν κτλ.* Porphyrius quaest. Hom. p. 5 *Ἄρχιππος Πλούτῳ κτλ.* Schol. Hom. Od. 2, 319 *Ἄρχιππος κτλ.* Eustathius 1448, 8 *Ἄρχιππος ἐγενόμην κτλ. ὡς* om. codices Etym. praeter V. *νῦν*] *νῦν δ'* Schol. Hom.

38

ῥαφίδα καὶ
λίνον λαβὼν τὸ ῥῆγμα σύρραψον τόδε.

Pollux 10, 136 *προσδεῖ καὶ ῥαφίδος, ἣν Ἄρχιππος ἐν Πλούτῳ ὠνόμασε κτλ. τὸ ῥ. σ. τόδε* Meinek.] *τόδε ῥ. σ.* minus bene Meinekius et Bekkerus uno tetrametro trochaico omnia continuant, repugnante sententiae exilitate, ut mihi quidem videtur.

39

πλατυπόρφυρα ἱμάτια

Ἄρχιππος ἐν Πλούτῳ εἴρηκεν. Pollux 7, 63.

ΡΙΝΩΝ

Photius *Ῥίνων· ὄνομα κύριον.* Isocr. 18, 6 *Ῥίνων εἷς τῶν δέκα γενόμενος.* cf. 18, 8. i. e. unus ex eis qui post triginta tyrannos reipublicae Atheniensium praefuerunt. Diogenes L. 2, 61 unum de septem Aeschinis Socratici dialogis refert inscriptum fuisse *Ῥίνωνα.* Pollux 7, 103 *Αἰσχίνης ἐν Ῥίνωνι.* cf. Meinek. I 209.

40

ἀθῷος ἀποδοὺς θοἰμάτιον ἀπέρχεται
στέφανον ἔχων τῶν ἐκκυλίστων οἴκαδε.

Athenaeus 15, 678 e *εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς κυλιστόν τινα καλούμενον στέφανον, καὶ μνημονεύοντα αὐτοῦ Ἄρχιππον ἐν Ῥίνωνι διὰ τούτων κτλ.* Pollux 7, 199 *στεφάνων δὲ εἴδη ἐκκύλιστος, ὥσπερ Ἀρχίππῳ εἴρηται ἐν Ῥίνωνι· ἀπέρχεται — ἐκκυλίστων. ἀποδοὺς*] *ἀποδὺς* Toupius Emend. III 37 et Cobet. N. l. 51. improbat Meinekius: dici enim hominem, qui cum vestem furto surreptam reddidisset, inpune convivio excesserit. potest tamen etiam adulter intellegi. *στέφανον τῶν ἐκκυλίστων* ridicule, qui ipse *ἐξεκεκύλιστο.* Hesych. *ἐκκύλιστοι στέφανοι· μεγάλοι, ἁδροί.*

41

προχῶναι

Pollux 2, 183 *γλουτοὶ καὶ κοχῶναι καὶ πυγαῖαι προσαγορεύον-*

ται, καὶ προχῶναι (προικῶναι A) παρὰ Ἀρχίππῳ ἐν τῷ Ῥίνωνι. Schol. Arist. Eq. 424 κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, τὸ μεταξὺ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων . . . αἱ αὐταὶ δὲ καὶ πυγαῖαι καὶ προχῶναι παρ' Ἀρχίππῳ καλοῦνται.

42

ξυρόν

Ἄρχιππος ἐν τῷ Ῥίνωνι ἀρρενικῶς εἴρηκεν. Pollux 10, 177.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

43

ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν
ὦ μῆτέρ ἐστι μὴ πλέοντα μηδαμοῦ.

Stobaeus Floril. 59, 7 Ἀρχίππου. sic A] *Καλλιμάχου* Trinc. cf. Meinek. Menandr. p. 86. τὴν A Voss.] μὲν. ἀπὸ τῆς γῆς cod. Franc.] ἀπὸ γῆς. ἀποιγ A. ἀπὸ γῆς εἰσορᾶν Doederl. Spec. ed. Soph. 105. Nauckius contulit Lucret. 2, 1 *suave mari magno turbantibus aequora ventis e terra magnum alterius spectare laborem*. addo Horat. Epist. 1, 11, 10 *Neptunum procul e terra spectare furentem*.

44

σκαφεῦσι κηπωροῖσι τοῖς τ' ὀνηλάταις,
καὶ ταῖς γυναιξὶ προσέτι ταῖς ποαστρίαις

Pollux 7, 148 σκαφέας δ' Ἄρχιππος καλεῖ κτλ. κηπουροῖσι ut formam Atticam praefert Meinekius. cf. Dindorf. Arist. fr. p. 219.

45

Plutarchus Alcib. 1 τῇ δὲ φωνῇ καὶ τὴν τραυλότητα ἐμπρέψαι λέγουσι, καὶ τῷ λάλῳ πιθανότητα παρασχεῖν χάριν ἐπιτελοῦσαν. μέμνηται δὲ καὶ Ἀριστοφάνης αὐτοῦ (Ἀλκιβιάδου) τῆς τραυλότητος . . καὶ Ἄρχιππος τὸν υἱὸν τοῦ Ἀλκιβιάδου σκώπτων βαδίζει, φησί, διακεχλιδώς, θοἰμάτιον ἕλκων, ὅπως ἐμφερὴς μάλιστα τῷ πατρὶ δόξειεν εἶναι, κλασαυχενεύεταί τε καὶ τραυλίζεται. Hesych. διακεχλοιδώς· διαρρέων ὑπὸ τρυφῆς. διακεχλιδέναι· θρύπτεσθαι. κλασαυχενεύεται E] κλαυσαυχενεύεται. κλασταυχενεύεται Reiskius. verba ὅπως — εἶναι non poetae videri indicat Sintenis. Meinekius διακ. | ὁδὶ βαδίζει θ. ἕλκ. ὅπ. | μ. δόξει' ἐμφ. εἶναι πατρί, | κλ. τε καὶ τρ. mutatione paene nulla scribo βαδίζει . . . | διακεχλιδώς τε, θοἰμάτιον ἕλκων, ὅπως | προσεμφερὴς μάλιστα δόξῃ τῷ πατρί, | κτλ. cf. Aristoph. fr. 460. κλασαυχενεύεται 'egregie exprimit fractam Alcibiadis in capite gestando mollitiem'. Meinek. conl. Clem. Alex. Paed. 3 p. 294 P.

46

ἀμαθὴς σοφός, δίκαιος ἄδικος

Bekker. Anecd. 343, 14 *ἄδικος· ὁ μὴ ἔχων δίκην διὰ τὸ μὴ δικάζεσθαί τινι. Ἄρχιππος κτλ. καὶ τὸ ἀμαθὴς δὲ ἐνταῦθα ἀντὶ τοῦ μηδὲν φύσει εἰδώς.* non omnia recte grammaticus. laudatur homo, qui quamquam sophisticas artes non didicerit sapiens sit, et iustus, quod nullam egerit causam.

47

φέρε καθίζωμ' ἐνθαδί.

Zonaras 1169, 6 *Ἄρχιππος κτλ. καθίζωμ' ἐνθαδί* Meinek.] *καθίζωμεν θαδί.*

48

ἑωθώς

χωρὶς τοῦ ι Ἄρχιππος. Photius et Suidas *ἑωθώς.* cf. Arar. 18.

49

ἰσόχρυσον

Ἄρχιππος ὁ κωμικὸς εἴρηκε. Pollux 6, 174.

50

ξύστρα

ὄνομα παρὰ Ἀρχίππῳ τῷ κωμικῷ. Herodian. apud Lob. Phrynich. p. 460.

51

τῆς παιδοτριβίας

Ἄρχιππος ὁ κωμικὸς εἴρηκεν. Pollux 3, 154.

52

σιλλοῦν

τοὺς ὀφθαλμοὺς ἠρέμα παραφέρειν. οὕτως Ἄρχιππος. Photius. cf. *ἰλλός, ἰλλοῦν, ἰλλώπτειν.*

53

Σκιάποδες

Λιβυκὸν ἔθνος. οὕτως Ἄρχιππος. Photius. cf. Aristoph. Av. 1552.

54

συμπατριώτης

Ἄρχιππος. Bekker. Anecd. 113, 20. *συμπατριώτας* Pollux 3, 54. cf. Pherecr. 11.

ΑΡΙΣΤΟΜΕΝΗΣ

Meinek. I 210 sq.

ΑΔΜΗΤΟΣ

Argument. Aristoph. Plut. IIII *ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀντιπάτρου, ἀνταγωνιζομένου αὐτῷ Νικοχάρους μὲν Λάκωσιν, Ἀριστομένους δὲ Ἀδμήτῳ, Νικοφῶντος δὲ Ἀδώνιδι, Ἀλκαίου δὲ Πασιφάῃ.* Aristomenis fabulam cum *priore* Pluto actam esse statuit Meinek. I 211. fragmenta non exstant.

ΒΟΗΘΟΙ

1

ἔνδον γὰρ ἡμῖν ἐστιν ἀνδρῶν γάργαρα.

Macrobius Sat. 5, 20, 12 *gargara, ut videtis, manifeste posuit pro multitudine. nec aliter Aristomenes ἐν Μύθοις* (Ald. *Βοηθοῖς*) *κτλ.* Schol. Aristoph. Acharn. 3 et Suid. *ψαμμακοσιογάργαρα· καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο . . . παρὰ Ἀριστομένει ἐν Βοηθοῖς· ἔνδον γὰρ ἡμῖν γάργαρα.* cf. Cratin. 290. Aristoph. fr. 359.

2

εὖ γάρ, εὖ
πράττειν σε βούλομαί τι. Β. πῶς λέγεις; Α. ὅπως;
μετ' ἐμοῦ ξυνέσει.

Priscianus 17, 169 *Ἀριστοφάνης Βοηθοῖς κτλ.* Aristophanem perperam nominavit pro Aristomene. 1. *γάρ*] ΤΑΡ RM. 2. *τι* add. Hermannus apud Krehlium. *πῶς λέγεις* Putschius] ΠΟCΛΕΓΕΙC R. ΠΟCΑΕΤΕΤC M. 3. *ξυνέσῃ* Putschius] ΞΕΝΕCΕ M. ΕΧΕΝΕCH(N) R.

3

μισῶ σ' ὁτιὴ λέγεις με τἀσχρά.

Priscianus 18, 254 *Aristomenes Βοηθοῖς κτλ.* *σ' — τἀσχρά* Brunck.] *σε — τὰ αἰσχρά. τὰ αἰσχρά τινα λέγειν* graecum esse negans Cobetus N. l. 141 *λέγεις με τἄσχατα*, conl. Xen. Mem. 2, 2, 9. mihi scribendum videtur *τἀσχρῶν ἔσχατα*, ut *ὁ Μυσῶν ἔσχατος, τὰ ἔσχατα τοῦ βίου* (Plat. Leg. 11, 932 a), *ἃ νομίζεται ἔσχατα κακῶν εἶναι* (Apol. 40 a).

4

ἐπειδὴ τοὺς πρυτάνεις προσήλθομεν

Priscianus 18, 277 *Aristomenes Βοηθοῖς κτλ.* Aristomenes]

cristomenes RVMO. ἐπειδὴ] οἵ γ' ἤδη C infra scr. σιγῇ δὴ Scaliger (?). τοὺς] TOIC M perperam, cum Priscianus latinae constructionis (*regem adit*) exempla graeca proponat. πρυτάνεις] ΠΡΥΤΑΝΕΥΣ R. Brunckius Fr. Aristoph. p. 122 Lips. αὐτοὶ γὰρ ἤδη. cum post βοηθοῖς facillime potuerit excidere ἡμεῖς, scribendum videtur ἡμεῖς δ', ἐπειδὴ κτλ.

ΓΟΗΤΕΣ

5

παντευχίαν δὲ τοῦ θεοῦ ταύτην λαβεῖν
καὶ περίθετον πρόσωπον, ὃ λαβὼν ἔσταθι.

Schol. Aristoph. Thesm. 258 λέγουσι δὲ περίθετον πρόσωπον, ὡς Ἀριστομένης ἐν Γόησιν κτλ. ἔσταθι Meinek.] ἔνσταθι. λαβεῖν et ὃ λαβὼν corrupta videntur. scribendum λαβὼν — πρόσωπον ὀβελόν θ' ἔσταθι. παντευχία enim sunt arma *defendendo* corpori. Eurip. Heracl. 720 ὅπλων μὲν ἤδη τήνδ' ὁρᾷς παντευχίαν· φθάνοις δ' ἂν οὐκ ἂν τοῖσδε σὸν κρύπτων δέμας. ab eis igitur recte discernitur ὀβελός, qui hic pro *hasta* est.

6

ὀστακὸν
ἀλίπαστον ἀεὶ τὸν θεράποντ' ἐπεσθίειν.

Athenaeus 14, 658a ἀλιπάστων κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας ποιητὴς Ἀριστομένης ... ἐν Γόησιν κτλ. ὀστακὸν Toup. Emend. III 96] ὄστρακον VL. ὁ στράβων BP. ἀεὶ] αἰεὶ A. quid sit *cancer* ἀλίπαστος non exputo. de accentu nominis ὀστακός Herodian. I 150, 2. II 561, 30.

7

βεμβράδας φέρων ὀβολοῦ

Ἀριστομένης ἐν Γόησι. Athenaeus 7, 287 d.

8

ἀναβραστῶν κρεῶν

μνημονεύει Ἀριστομένης Γόησιν οὕτως. Athenaeus 9, 384 e. Aristomenis quae sequebantur verba exciderunt.

9

βιβλιοπώλην

παρὰ Ἀριστομένει εὑρήσεις ἐν Γόησι. Pollux 7, 211. scribendum βυβλιοπώλην.

10

ἡ φορίνη

ὅτι καὶ ἐπ' ἀνθρωπείου δέρματος ἐλέγετο, καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ. Harpocrat. 182, 13. Pollux 6, 55 *τὸ δὲ δέρμα τοῦ χοίρου φορίνην καλοῦσι* (nos *Schwarte*). Photius *περιφοριῶσθαι· . . . ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι, ἀπὸ τῆς φορίνης· τάσσουσι γὰρ (καὶ) ἐπὶ ἀνθρώπων τὴν φορίνην.* quid Aristomenes significaverit, cognoscitur ex Plut. Mor. 57 a *εὐπαρύφου τινὸς ἀγροίκου φορίνην παχεῖαν φέροντος.*

ΔΙΟΝΥΣΟΣ ΑΣΚΗΤΗΣ

Plenum titulum solus servavit Pollux 3, 150, Athenaeus *Διόνυσον* adpellat. qui scriptor cum in titulis fabularum admodum sit diligens, Bergkius R. c. Att. 431 plenum nomen *Διόνυσος ἢ ἀσκηταί* fuisse putat: ita enim alteram inscriptionem recte omitti potuisse. cf. Meinek. II 733. Eupolidis Taxiarchos imitatum esse Aristomenem, cum Bacchum athletarum exercitationibus occupatum fingeret, Meinekius monuit I 212.

11

ὁ Χῖος οὐκ οἶσθ' ὡς ἀμαμηλίδας ποιεῖ;

Athenaeus 14, 650d *αἱ δ' ἀμαμηλίδες οὐκ εἰσὶν ἄπιοι, ὥς τινες οἴονται, ἀλλ' ἕτερόν τι καὶ ἥδιον καὶ ἀπύρηνον. Ἀριστομένης ἐν Διονύσῳ φησίν κτλ.* *ἀμαμηλίδας* C] *ἀμαμηλίδας* A. cum Ceum insulam *ἀπίους φέρειν κρατίστας κατὰ τὰς ἐν Ἰωνίᾳ ἀμαμηλίδας* Aeschylidis in Georgicis testimonio confirmet Athenaeus, Schweighaeuserus *Κεῖος* scribendum proponebat. non recte. nam data opera *τὰς ἀμαμηλίδας* et *τὰς ἀπίους* discernit. *ὁ Χῖος ἀμαμηλίδας ποιεῖ*, ut Aristoph. Pac. 1322 *κριθάς τε ποιεῖν ἡμᾶς πολλὰς οἶνόν τε πολύν.* cf. Meinek. et Bekker. Anecd. 111, 20.

12

ἀλίπαστα ταῦτα παρατίθημί σοι κρέα.

Athenaeus 14, 658 a *ἀλιπάστων δὲ κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας ποιητὴς Ἀριστομένης ἐν Διονύσῳ κτλ.* *κρέα* add. Toupius Emend. III 95. etiam initio addi poterat *κρέα δ'*. cf. Iacobs. Addit. 344. 5.

13

σφαιρομαχία

παρὰ Ἀριστομένει ἐν Διονύσῳ ἀσκητῇ. Pollux 3, 150.

ΥΛΟΦΟΡΟΙ

Argument. Aristoph. Equit. II *ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρα-*

τοκλέους ἄρχοντος (Ol. 88, 4) εἰς Λήναια ... πρῶτος ἐνίκα, δεύτερος Κρατῖνος Σατύροις, τρίτος Ἀριστομένης Ὑλοφόροις. Meinek. I 210. fragmenta non exstant.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

14

ἀκρατιοῦμαι μικρόν, εἶθ' ἥξω πάλιν
ἄρτον δὶς ἢ τρὶς ἀποδακών.

Athenaeus 1, 11d Ἀριστομένης κτλ. v. 1 Eustathius 1791, 37. Bekker. Anecd. 23, 15 ἀκρατίσασθαι· τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου. Ἀριστοφάνης (scr. Ἀριστομένης)· ἀκρατιοῦμαι μικρόν.

15

φιλακόλουθος ἄρχεται.

Ἀριστομένης ὁ κωμικός. Pollux 6, 167. ἄρχεται] λέγει A. '*qui alias sequacem se praestitit, nunc ipse rei initium facit.* φιλακόλουθος ex Aristoph. Ran. 414 assumpsisse videtur.' Meinek.

16

Harpocratio 127, 7 ὅτι δὲ καὶ οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον, ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι καὶ Ἀριστομένης.

ΚΑΛΛΙΑΣ

Suidas Καλλίας ... ἐπεκλήθη Σχοινίων, διὰ τὸ σχοινιοπλόκου εἶναι πατρός. Cratin. 324c. Athenaeus 10, 453c Καλλίας ... ἐποίησε τὴν καλουμένην γραμματικὴν τραγῳδίαν, de qua nuper Schoenius Mus. Rhen. XXXI 582 sq. Meinek. I 54. 213. Bergk. R. c. Att. 116—121.

ΑΙΓΥΠΤΙΟΣ

Commemorat solus Suidas Καλλίας. Meinek. I 213.

ΑΤΑΛΑΝΤΗ

1

κέρδος αἰσχύνης ἄμεινον· ἕλκε μοιχὸν ἐς μυχόν.

Zenobius 4, 67 κέρδος κτλ. ταύτης μέμνηται Καλλίας ἐν Ἀταλάντῃ. ἐς Meinek.] ἢ. Ἀταλάντῃ Kusterus] Ἀταλετῇ H, reliqui Ἀταλεστῇ. Suidas μοιχός· καὶ παροιμία 'ἕλκει μοιχὸς ἐς μοιχόν' ῥηθεῖσα τῷ Καλλίᾳ. Diogenian. 5, 42 κέρδος αἰσχύνης ἄμεινον. alte-

ram tantum partem a Callia commemoratam esse Leutschii est opinio Philol. III 570. 'adulterum non inpune dimittendum, sed donec pecunia vitam redemerit in custodia tenendum admonet'. Leutsch. in Paroemiogr.

ΒΑΤΡΑΧΟΙ

A Suida solo commemorata. Meinek. I 213.

ΚΥΚΛΩΠΕΣ

Erant qui Diocli tribuerent. Athen. 4, 140e. 7, 300a. 12, 524f. 15, 667d. Meinek. I 214. argumentum Aureae aetatis simile fuisse Bergkius suspicatur R. c. Att. 363. 4. cf. tamen quae ad titulum comoediae Eupolideae adnotavimus.

2

Suidas *ἀράχνη· εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ Καλλίᾳ* (*παρ' ἄλλοις* Nauck. Philol. VI 415). *λέγουσι δὲ καὶ ἀραχνικὰ* (Bernh. *ἀραχνικὸς*) *ἀπὸ τῆς ἀράχνης ὀρθῆς. Καλλίας Κύκλωψιν· ὥσπερ ἀραχνικὸς τὴν ὁδὸν προφορούμενα* (*προφορουμένω* C). Bekker. Anecd. 442, 1 *ἀράχνης· καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ καλλίοις* (*παρ' ἄλλοις* Nauck). *λέγουσι δὲ καὶ ἀραχνικὰ ἀπὸ τῆς ἀράχνης ὀρθῆς. Καλλίας Κύκλωψι.* Meinekius *ἀλλ' ὥσπερ ἀράχναι τὴν ὁδὸν προφορουμένω.* Fritzsch. De com. gr. fr. 7 *ὥσπερ ἀράχνηκες τὴν ὁδὸν προφορουμένω* conl. Hesych. *ἀράχνηκες· ἀράχναι.* cf. etiam Aristoph. Av. 4 et quae ibi adnotavimus.

3

κίθαρος ὀπτὸς καὶ βατὶς θύννου τε κεφάλαιον τοδί,
ἐγχέλεια, κάραβοι, λινεύς, ἀχαρνὼς οὑτοσί.

Athenaeus 7, 286b *Καλλίας Κύκλωψι κτλ.* et 306a *Καλλίας δὲ ἢ Διοκλῆς Κύκλωψι κίθαρος — τοδί.* v. 2 Bekker. Anecd. 474, 1 *ἀχαρνὼς καὶ ὀρφὼς ὁ αὐτός. Καλλίας Κύκλωψιν· ἐγχέλεια κτλ.* 1. *κίθαρος*] *κίθαρις* 286b. *ὀπτὸς καὶ* A] *ὀπτός τε* P. *θύννου τε*] *θύννου τὸ* 306. 2. *ἐγχέλεια* Schweigh.] *ἐγχέλια* A. *λινεύς* Erfurdt. Observ. 461] *αἰνεεύς. ἀχαρνὼς* Bekk. An.] *ἄχαρνος.* de *citharo* cf. Pherecr. 39. Hesych. *λινεύς· ὁ κεστρεὺς ἰχθύς.* Photius *λινεύς· κεστρεύς.* Hesych. *ἀχάρνα· εἶδος ἰχθύος.*

4

φυλλὰς ἢ δείπνων κατάλυσις ἦδε καθάπερ σχημάτων.

Athenaeus 4, 140e *ὅτι δὲ ἔθος ἦν τοῖς πάλαι καὶ φύλλα δάφνης τραγηματίζεσθαι Καλλίας ἢ Διοκλῆς ἐν τοῖς Κύκλωψί φησιν οὕτως*

κτλ. φυλλὰς ἡ Erfurdt.] φυλασῃ A. κατάλυσις Erfurdt.] καταλύσεις. κατάλυσις ἥδε Meinek.] κατάλυσις· ἡ δὲ. ex Athenaei verbis cognoscitur τραγήματα a Callia commemorata fuisse: neque intellegitur quid sit φυλλάς, ἡ σχημάτων κατάλυσις. scribendum est δείπνων κατάλυσις ἥδε (i. e. *ecce adfertur*) καὶ (vel μετὰ) τραγημάτων. Pollux 6, 71 φυλλάδας δ' ἐκάλουν τὰ χλωρὰ ὑποτρίμματα. Antiphan. 171, 2. Mnesim. 4, 31. Diphil. 18, 4 ἡ φυλλὰς ἡ δριμεῖα. Xen. Symp. 9 extr. αὕτη τοῦ τότε συμποσίου κατάλυσις ἐγένετο.

5

τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία εἴφ' ὅ τι πράσσει.

Athenaeus 12, 524f τοὺς δὲ σύμπαντας Ἴωνας ἐπισκώπτων Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψί φησι κτλ. εἴφ' Dindf.] εἶφ'. Bekker. Anecd. 49, 15 καλλιτράπεζος· ὁ καλὴν καὶ λαμπρὰν τράπεζαν παρατιθέμενος. cum incisio inusitata sit post quartum trochaeum in tetrametro anapaestico (cf. tamen Aristoph. Av. 600 et quae ad Nub. 987 adnotavimus), Meinekius cum Dobraeo (Advers. II 339) trimetros iambicos constituit: τί γὰρ — Ἰωνία | εἶπον (nam εἰπόν in ed. Athen. quid sibi velit nescio) ὅτι πράσσει: ubi non minus insolens est incisio anapaesti in pede quinto. praeterea vero tum scribendum erit τί γὰρ — Ἰωνία; | ἀλλ' εἴφ' ὅ τι πράττει. nam εἶπον imperativus (Xen. Mem. 3, 6, 3, cf. quae Kuehner. ad 2, 2, 8 adnot.) aliquanto post in Atticorum consuetudinem pervenit.

6

καὶ δέξαι τηνδὶ μετανιπτρίδα τῆς Ὑγιείας.

Athenaeus 11, 486f. 487a μετάνιπτρον (= μετανιπτρίς) ἡ μετὰ τὸ δεῖπνον, ἐπὴν ἀπονίψωνται, διδομένη κύλιξ . . . ἔνιοι δὲ τὴν μετὰ τὸ νίψασθαι πόσιν, ὡς Σέλευκος ἐν Γλώσσαις. Καλλίας δ' ἐν Κύκλωψι κτλ. cf. Philetaer. 1.

7

πρὸς τῆς ἀφύης τῆς ἡδίστης

Athenaeus 7, 285e Καλλίας Κύκλωψι. πρὸς Porson.] πρό. ex nominis ambiguitate, quo piscis et meretrix significatur, iocum quaesivit iudice Meinekio. cf. Archipp. 16.

8

κεχαλκεῦσθαι τοίνυν ἑσπέρας

Pollux 7, 105 Καλλίας ἐν Κύκλωψι. verba sine dubio corrupta. quod Meinekius proposuit κ. τανῦν ἐφ' ἑσπέρας quomodo facilius intellegatur non perspicio.

9

Athenaeus 15, 667 d (*ἆθλα τῷ εὖ προεμένῳ τὸν κότταβον*) *ᾠά ἐστι καὶ πεμμάτια καὶ τραγήματα. ὁμοίως δὲ διεξέρχονται . . . Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψι.*

10

ἁμαξοτροχίας

τὰ ἴχνη τῶν τροχῶν, ἃ Ὅμηρος ἁματρυχίας εἴρηκε, Καλλίας ἐν Κύκλωψιν λέγει. Pollux 7, 116. Hom. Il. 23, 422 *ἁματροχιὰς ἀλεείνων.*

ΠΕΔΗΤΑΙ

Ineunte bello Peloponnesiaco actam esse fragmenta indicant potissimum 14. 15. cf. Meinek. I 214. Bergk. R. c. Att. 116. Dindorf. Arist. fr. p. 21 n. b.

11

A. τί δ' ἄρα; τοὺς Μελανθίου τῷ γνώσομαι;
B. οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς.

Schol. Aristoph. Av. 151 *Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται . . . Καλλίας Πεδήταις κτλ. εἶχε Μελάνθιος λέπραν. τί δ'* Nauck. Philol. VI 415] *τίς. Μελανθίου* Dindorf.] *Μελανθίους.* ceterum *εὐρύπρωκτοι* saepissime, *λευκόπρωκτοι* nusquam perstringuntur. ac *χροιὰ λευκή* laudatur Aristoph. Nub. 1012. quocirca Nauckius *λακκοπρώκτους.* potest scripsisse etiam *λειοπρώκτους* vel (*μάλιστά*) *γ' εὐρυπρώκτους.* de *Melanthio* cf. interpretes Avium.

12

A. τί δὴ σὺ σεμνοῖ καὶ φρονεῖς οὕτω μέγα;
B. ἔξεστι γάρ μοι. Σωκράτης γὰρ αἴτιος.

Diogenes Laert. 2, 18 *ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ . . . καὶ Καλλίας Πεδήταις κτλ. τί δὴ* Dindorf. Aristoph. fr. p. 21 n. b.] *ἤδη. σεμνοῖ* Dindorf.] *σεμνή.* Fritzschius Fab. retract. V 5. 10 *σεμνῆς καταφρονεῖς* (hoc ex cod. Cantabr.). adsentior Dindorfio, quamquam Cobetus in ed. Diog. *σεμνή.*

13

καὶ Σάκαν ὃν οἱ χοροὶ μισοῦσι.

Schol. Aristoph. Av. 31 *εἰς δὲ τὴν ποίησιν αὐτὸν κεχλευάκασι Καλλίας μὲν ἐν Πεδήταις κτλ. Σάκαν* (*Σάκας*), *ὃν* Dobr.] *Σάκον* V Ald. *Acestorem* dicit tragicum, de quo cf. interpr. Av. — ad iambicos et ad trochaicos numeros haec revocari possunt.

14

Athenaeus 8, 344e *Λάμπωνα τὸν μάντιν ἐπὶ τοῖς ὁμοίοις* (*ἐπὶ τῇ ὀψοφαγίᾳ*) *κωμῳδοῦσι Καλλίας Πεδήταις καὶ Λύσιππος Βάκχαις.*

15

Schol. Platon. 391 Bekk. *καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν* (*Ἀσπασία*), *ὡς Αἰσχίνης ἐν διαλόγῳ Ἀσπασίᾳ, καὶ Καλλίας ὁμοίως Πεδήταις.* cf. Meinek. I 182.

16

τῆς πατρικῆς ἀρίδος

Pollux 7, 113 *ἐργαλεῖα δὲ* (*τεκτόνων*) . . . *τέρετρον, τρυπανοῦχος, ἀρίς. Καλλίας γοῦν ἐν Πεδήταις λέγει κτλ.*

17

εἰσῇμεν

ἀντὶ τοῦ εἰσήειμεν σὺν τῷ ῑ Καλλίας Πεδήταις. Etymol. m. 301, 55. Herodian. II 503, 34.

18

τῶν ἐλύμων αὐλῶν

μνημονεύει καὶ Καλλίας ἐν Πεδήταις. Athenaeus 4, 176f. ac paullo ante *τοὺς ἐλύμους αὐλοὺς* . . . *οὐκ ἄλλους τινὰς εἶναι ἀκούομεν ἢ τοὺς Φρυγίους.* Poll. 4, 74 *ἔλυμος τὴν μὲν ὕλην πύξινος, τὸ δ᾽ εὕρημα Φρυγῶν· κέρας δ᾽ ἑκατέρῳ τῶν αὐλῶν ἀνανεῦον πρόσεστιν, αὐλεῖ δὲ τῇ Φρυγίᾳ θεῷ.*

ΣΧΟΛΑΖΟΝΤΕΣ

Solus Suidas commemorat. Meinek. I 213.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

19

τραυλὴ μέν ἐστιν, ἀλλ᾽ ἀνεστομωμένη.

Pollux 2, 102 *Καλλίας ὁ κωμικός κτλ.* 'dicuntur haec in mulierem blaesam, sed multa in dicendo acrimonia utentem. Soph. OC. 795 *πολλὴν ἔχον στόμωσιν.*' Meinek.

20

μετὰ μαινομένων φασὶν χρῆναι μαίνεσθαι πάντας ὁμοίως.

Clemens Alex. Strom. 6, 743 *Καλλίᾳ τῷ κωμικῷ γράφοντι κτλ. Μένανδρος ἐν Πωλουμένοις παρισάζεται κτλ. ὁμοίως* ad Calliae ver-

sum a Clementis oratione retraxit Bentlei. Emend. Menandr. 56. ex parabasi videntur petita esse.

21

ἔτνος, πῦρ, γογγυλίδες, ῥάφανοι, δρυπεπεῖς, ἐλατῆρες

Athenaeus 2, 57a *Καλλίας δ' ἐπὶ τῆς ῥαφανῖδος εἴρηκε τὴν ῥάφανον. περὶ γοῦν τῆς ἀρχαιότητος τῆς κωμῳδίας διεξιὼν φησιν κτλ. ἔτνος* insolenter producta prima syll. *πῦρ*] *πῦαρ* (*πύαρ*) Arnaldus Lect. gr. I 17. *πυριάτης* Fritzsch. Aristoph. Thesm. p. 239. de victus qui olim choreutis praeberi solebat simplicitate loquitur.

22

δυαδελφίδην ταὐτῷ μυχῷ

Καλλίας. Pollux 3, 25. *δύο ἀδελφιδὰς τούτω μοιχῷ* A. om. BC. *δύ' ἀδελφίδι' ἐν ταὐτῷ μυχῷ* Meinek.

23

Μεγαρικαὶ σφίγγες

Καλλίας πόρνας τινὰς οὕτως εἴρηκεν. Hesychius. Photius *Μεγαρικαὶ σφίγγες· αἱ πόρναι οὕτως εἴρηνται· ἴσως δὲ ἐντεῦθεν καὶ σφίγκται οἱ μαλακοὶ ὠνομάσθησαν*. Nauckius Philol. II 150. VI 415 sq. *φύσιγγες* pro *σφίγγες*. at Hesych. *Κορίνθιαι· αἱ πέδαι, καὶ* (Meinek. *Κορίνθιαι πέδαι· . . . καὶ*) *αἱ ἀπὸ Κορίνθου τῆς πόλεως γυναῖκες*. cf. Anaxil. Athen. 13, 558a.

24

μετάλλου στόμιον

Καλλίας ὁ κωμικὸς εἴρηκε. Pollux 2, 101.

25

Βολβός

Athenaeus 1, 22c *ὀρχησταὶ ἔνδοξοι Βολβὸς μὲν παρὰ Κρατίνῳ* (fr. 394) *καὶ Καλλίᾳ*.

26

βουβωνιᾶν

ὡς ὁ Καλλίας. Pollux 2, 186.

27

δοκησιδέξιον

Pollux 4, 9 *δοκησίνους, ὃν καὶ δοκησιδέξιον Καλλίας εἴρηκεν ὁ κωμικός*. cf. Pherecr. 154.

28

ἐλλεβοριᾶν

τὸ ἐλλεβόρου δεῖσθαι, ὡς Καλλίας φησί, καὶ ἐλλεβορίζειν. Schol.

Aristoph. Vesp. 1489. Etymol. m. 331, 30, Suidas, Zonaras *ἑλλεβοριᾶν· τὸ ἑλλεβόρου δεῖσθαι ὡς φαρμάκου. οὕτω Καλλίας.*

29

μαμμᾶν

Ἀργεῖοι τὸ ἐσθίειν. οὕτω Καλλίας. Photius. id non solum Argivorum fuisse docet Aristoph. Nub. 1383. an scribendum *αἱ μαῖαι* pro *Ἀργεῖοι*?

30

στρηνόφωνος

παρὰ Καλλίᾳ τῷ κωμικῷ. Pollux 2, 112.

31

Photius *ὑηνῶν· σκαιῶν καὶ ἀμαθῶν· καὶ ὑηνία σκαιότης καὶ ἀμαθία. οὕτως Καλλίας.* Zonaras 1764 *ὑηνεὺς ὁ σκαιός, ὁ φλύαρος, ὁ ἀμαθής. καὶ ὑηνία. οὕτω Καλλίας.* itaque utrum *ὑηνός* an *ὑηνία* ad Calliam pertineat incertum est. videntur autem Hippocratis filii, ab omnibus comicis propter *ὑηνίαν* exagitati, hic quoque significari.

ΑΜΦΙΣΒΗΤΗΣΙΜΑ

32

Hesychius *σκανα . . . ντα· ἐπιχαλκ . . . παρὰ Σώφρονίωσκανὰς πορεύσῃ ἐν τῇ ἀσπίδι. Καλλίας δὲ σκεῦος.* disputarunt de his Lobeckius Paralip. 334 adn. 15, Ahrens Dial. 475 (Sophron. fr. 93). ac priora quidem huc non pertinere constat. sed etiam quae Calliae esse dicuntur dubium est utrum ad comicum an ad Syracusanum referantur qui de Agathocle scripsit. quid significetur facile adparebit conl. Photius 518, 29 et Etym. m. 716, 54 *σκηνὴν δὲ ἣν ἔχουσιν . . . ἔοικε δὲ σκεῦός τι εἶναι, ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν, οἱ δὲ σκιάδειον.* Photius 743, 13 *σκηνή· . . . οἱ δὲ εἶδος κόσμου γυναικείου, οἱ δὲ σκεῦός τι οὕτω καλούμενον.* Demosth. 41, 11 *σκηνὴν δὲ ἣν ἔχουσιν, οὐδέ γε ταύτην λαβόντες ἀναφέρουσιν* (i. e. *Betthimmel*). ea igitur significatione Callias quoque sive comicus sive rerum scriptor usus erat.

33

Athenaeus 13, 577 b c *Ἀριστοφῶν δὲ . . ὁ τὸν νόμον εἰσενεγκὼν ἐπ' Εὐκλείδου ἄρχοντος, ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται νόθον εἶναι, αὐτὸς ἀπεδείχθη ὑπὸ Καλλιάδου τοῦ κωμικοῦ ἐκ Χορηγίδος τῆς ἑταίρας παιδοποιησάμενος.* Calliam, non Calliadem significari censet Meinek. I 449. 450. quod si verum est utrum Callias in comoedia an in iudicio id fecerit quaeritur.

ΗΓΗΜΩΝ

Athenaeus 15, 698c. 9, 406e. Meinek. I 214. Leutsch. Philol. X 704 sq.

ΦΙΛΙΝΝΑ

Athenaeus 15, 699a *γέγραφε δὲ* (*Ἡγήμων*) *καὶ κωμῳδίαν εἰς τὸν ἀρχαῖον τρόπον, ἣν ἐπιγράφουσι Φιλίνην*. cf. Meinek. I 215. composuit enim etiam parodias, inprimis Gigantomachiam. de vera nominis forma locupletior certe Athenaeo testis est Aristophanes Nub. 684.

1

μάλα ταχέως αὐτῶν πρίω μοι πουλύπουν,
καὶ δὸς καταφαγεῖν κἀπὸ τηγάνου γόνον.

Athenaeus 3, 108c *Ἡγήμων δ' ἐν Φιλίννῃ καὶ γόνον ἐκ ταγήνου ἐσθίοντας ποιεῖ ἐν τούτοις κτλ. πρίω μοι* Meinek.] *πριῶ* A. *πρίω τὸν* Schweighaeus., *πρίω σὺ* Coraes Xenocr. 206, *ταχέως ἰὼν πρίω μοι* Cobet. N. l. 141 et in Athenaeo Meinekius. *πουλύπουν*] *πώλυπον* A. pro *μάλα* Iacobs. Addit. Athen. 71 *ἀλλὰ*, Dobraeus *μάλλὰ*, et pro *αὐτῶν* Iacobs. *αὐτῷ* (*πρίω σύ*). *αὐτῶν* in ed. mai. Meinekius nummos esse putabat 'quorum in antecedentibus mentio facta' esset. *γόνος* sunt pisces minuti. Archestr. Athen. 7, 285b *τὸν γόνον ἐξανδῶ, τὸν ἀφρὸν καλέουσιν Ἴωνες*.

ΛΥΣΙΠΠΟΣ

Victoriam Ol. 86, 2 reportavisse videtur Meinekio I 216. at cf. Boeckh. C. I. I 229 p. 349—352. antiquae comoediae poetam fuisse intellegitur ex fr. 4 et 6.

ΒΑΚΧΑΙ

1

Α. Ἕρμων. ΕΡΜ. *τί ἐστι; Α. πῶς ἔχομεν;* ΕΡΜ. *τί δ' ἄλλο γ' ἢ*
ὁ πατὴρ ἄνωθεν ἐς τὸ φρέαρ, ἐμοὶ δοκεῖν,
ὥσπερ τὸν οἶνον τοῦ θέρους καθεῖκε νῷ.

Athenaeus 3, 124d *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν φησὶν . . . ὁ Λύσιππος ἐν Βάκχαις κτλ. Βάκχαις* Casaub. ed. 2.] *βάκχοις* A. personarum discriptio mea est.

antea *A.* *Ἕρμων — ἔχομεν;* reliqua *B.* 2. *ἐμοὶ* Dindorf.] *μοὶ* A. *ἡμᾶς δοκεῖ* Porsonus Advers. 68. 3. *καθεῖκε νώ* Toeppel. Progr. Neobrand. 1857 p. 5] *καθεικέναι. καθεῖκεν ἕ* Schweighaeus. *καθεῖκέ με* Dobraeus Advers. II 304. conloquuntur duo fratres, quos pater nescio qua de causa in locum caliginosum, fortasse in cisternam, demisit. cum cernere nihil possint, primum alter alterum vocat, adsitne ipse quoque quaerens. similem videtur scaenam habuisse Alexidis fabula *Εἰς τὸ φρεάρ*, Apollodori Geloi *Ἀπολείπουσα* (cf. Meinek. IIII 438), fortasse etiam Plat. fr. 21. Plat. Theaet. 165b *ἐν φρέατι συνεχόμενος* (174c), ubi cf. Heindorf. Zenob. 3, 45 *ἐν φρέατι κυσὶ μάχεσθαι· ἐπὶ τῶν . . . ἀποφυγεῖν μὴ δυναμένων.* Apostol. 7, 40. Hesych. *ἐν φρέατι κυνομαχεῖν.* Cic. De prov. cons. 3, 6 *constat nobilissimas virgines se in puteos abiecisse et morte . . turpitudinem depulisse.*

2

βλαύτῃ, κοθόρνῳ, Θετταλίδι

Pollux 7, 89 *καὶ Θετταλὶς δὲ ὑπόδημα μηνῦον τοὺς εὑρετάς. μέμνηται δ' αὐτοῦ Λύσιππος ἐν Βάκχαις κτλ.* Stephanus Byz. *Θεσσαλία· ἔστι καὶ Θετταλὶς ὑπόδημά τι ποιόν, ὡς Λύσιππος ἐν Βάκχαις. Λύσιππος* Berkelius] *Λύσις.* Herodian. I 90, 27.

3

ἀλλὰ τρίμιτός ἐστι πῖλος.

Pollux 10, 50 *ἔξεστι δὲ εἰπεῖν καὶ πλεκτοὺς πίλους, καὶ ἐπὶ τῶν ὀνομαζομένων οὐδώνων πίλους τριμίτους, Λυσίππου εἰπόντος ἐν Βάκχαις κτλ. πῖλος* Meinek.] *πλεκτός.* fortasse initium tetrametri troch.

4

οὐδ' ἀνακνάψας καὶ θειώσας τὰς ἀλλοτρίας ἐπινοίας

Pollux 7, 41 *καὶ θεῖον δὲ τῶν ὑπουργούντων τῷ κναφεῖ, ἀφ' οὗ Λύσιππος κτλ.* et 7, 77 *δευτερουργῆ δὲ χλαῖναν ἐκάλουν, ἣν οἱ νῦν ἐπίγναφον, καὶ δευτερουργοὺς τοὺς τοῦτο ποιοῦντας. τάχα δὲ τοῦτο ὑποδηλοῖ καὶ Λύσιππος ἐν Βάκχαις κτλ.* idem 7, 37 *ἀνακνάψαι Λύσιππος ὁ κωμικός. οὐδ'* Dobraeus Arist. Plut. 166] *σὺ δέ.* om. A. *ἀνακνάψας*] *ἐπιγνάμψας* A 7, 41, *ἀναγνάψας* AF 7, 77. *ἐπινοίας* 7, 41] *διανοίας* 7, 77. ex parabasi, in qua aemulorum iniurias propulsaverit, haec petita esse monet Meinekius, Nub. 538—550. Pac. 750. 61 confert Dobraeus. *θειοῦνται* autem vestes ad emendandum odorem.

5

αὐτοῖς αὐλοῖς ὁρμᾷ καὶ γλωττοκομείῳ.

Pollux 10, 154 τὸ μέντοι γλωττοκομεῖον εἴρηκε Λύσιππος ἐν Βάκχαις κτλ. (*tibicen*) *inruit una cum tibiis et theca tibiali.* Lobeckius Phryn. 99 αὐτοῖσιν αὐλοῖς ἦρέ με | καὶ γλ., ut ambubaia loquatur de amatoris ferocitate conquerens '*sustulit me una cum tibiis et theca tibiaria*'.

6

Athenaeus 8, 344e καὶ Λάμπωνα δὲ τὸν μάντιν ἐπὶ τοῖς ὁμοίοις (τῇ ὀψοφαγίᾳ) κωμῳδοῦσι Καλλίας Πεδήταις καὶ Λύσιππος Βάκχαις. Hesychius ἀγερσικύβηλις· καὶ Λύσιππος ἐν Βάκχαις τὸν αὐτὸν (Λάμπωνα) ἀγύρτην κωμῳδεῖ.

ΘΥΡΣΟΚΟΜΟΣ

A solo Suida commemorata. Meinek. I 216. ac fortasse θυρσοκόμος cognomen Bacchi erat a poeta in Bacchis usurpatum.

[ΚΑΤΑΧΗΝΑΙ]

Meinek. I 216. at longe aliter Boeckh. C. I. I 229 p. 349—352, qui Lysippum non poetam, sed protagonistam in Menelao fabula significari arbitratur.

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

7

εἰ μὴ τεθέασαι τὰς Ἀθήνας, στέλεχος εἶ,
εἰ δὲ τεθέασαι μὴ τεθήρευσαι δ', ὄνος,
εἰ δ' εὐαρεστῶν ἀποτρέχεις, κανθήλιος.

Dicaearchus Descr. Graec. 22 Buttm. τὸ καθόλου δ' ὅσον αἱ λοιπαὶ πόλεις πρός τε ἡδονὴν καὶ βίου διόρθωσιν τῶν ἀγρῶν διαφέρουσι, τοσοῦτον τῶν λοιπῶν πόλεων ἡ τῶν Ἀθηναίων παραλλάττει. φυλακτέον δ' ὡς ἔνι μάλιστα τὰς ἑταίρας, μὴ λάθῃ τις ἡδέως ἀπολόμενος. οἱ στίχοι Λυσίππου κτλ. — τεθήρευσαι. Xen. Memor. 1, 2, 24 Ἀλκιβιάδης ὑπὸ γυναικῶν θηρώμενος. cf. 2, 6, 28. 3, 11, 7 sq.

8

κύων δέ τις
ἐβόα δεδεμένος ἔνδον ὥσπερ Βούδιος.

Hesychius Βούδιος· παρὰ Λυσίππῳ τὸ ὄνομα κτλ. Σέλευκος

ἀποδίδωσιν ἄφρων, ἀνόητος. ἔνδον addidit K. Mus. Rhen. XXX 413, ubi cf. quae ad interpretandum hunc versum adieci. *Βούδιος*] *Βουλίας* K. cf. Fritzsch. Ind. Rost. 1870 p. 9. cf. *Βουζύγης* Leutsch. Append. prov. 1, 61.

9

ἀλλὰ δᾳδας ἡμμένας μοι ταχὺ δότω τις ἔνδοθεν,
καὶ κόρους πλεκτοὺς ἀκραιφνεῖς μυρρίνης.

Etymol. m. 531, 53 *κορυθάλη· ἡ πρὸ τῶν θυρῶν τιθεμένη δάφνη, ὅτι οἱ κλάδοι, οὓς κόρους καλοῦσι, θάλλουσιν, ὡς καὶ Χρύσιππος* (sic) *κτλ.* cf. Etymol. Gud. 338, 15. *μοι ταχὺ* cod. Sorb. apud Gaisford.] *μοι. ἐμοὶ* Hemsterh. *ἀκραιφνεῖς* Hemsterh.] *ἀκραπνεῖς. ἀκρατεῖς* cod. Par. 2630. ceterum $\overset{\epsilon\pi\pi}{\chi}$ D. $\overset{\rho}{\chi}\pi\pi^{o\varsigma}$ M. Hemsterhusius *Στράττις Χρυσίππῳ.* facilius sane Meinekius *Λύσιππος.*

10

σάμακα

Ἐρατοσθένης ἀπέδωκε τὸν φορμόν. ἄμεινον δὲ τὸν τοξικὸν κάλαμον. οὕτως Λύσιππος. Photius. cf. Hesych. *σάμαξ* et Chionid. 1.

ΛΕΥΚΩΝ

Πρέσβεις docuit Ol. 89, 2, *Φράτερας* Ol. 89, 3. Meinek. I 217.

ΟΝΟΣ ΑΣΚΟΦΟΡΟΣ

Argumentum ingeniose exposuit Boeckhius Oec. Att.[2] I 438. 9. fragmenta non exstant.

ΠΡΕΣΒΕΙΣ

Argument. Aristoph. Vesp. I *ἐδιδάχθη ἐπὶ ἄρχοντος Ἀμεινίου* (Ol. 89, 2) . . . *δεύτερος ἦν. εἰς Λήναια. καὶ ἐνίκα πρῶτος Φιλωνίδης Προάγωνι, Λεύκων Πρέσβεσι τρίτος.* fragmenta non exstant.

ΦΡΑΤΕΡΕΣ

Argument. Aristoph. Pac. I *ἐνίκησε δὲ τῷ δράματι ὁ ποιητὴς ἐπὶ ἄρχοντας Ἀλκαίου* (Ol. 89, 3), *ἐν ἄστει. πρῶτος Εὔπολις Κόλαξι, δεύτερος Ἀριστοφάνης Εἰρήνῃ, τρίτος Λεύκων Φράτερσι.* Hyperbolum ut barbarum, qui phrateres non haberet, ea fabula traductum esse opinio est Bergkii R. c. Att. 106.

1

ἀτάρ, ὦ Μεγάκλεες, οἶσθά που Παάπιδος
Ὑπέρβολος τἀκπώματα κατεδήδοκεν.

Hesychius *Παάπης· οὗτος ποτήρια τινα τοῖς Ἀθηναίοις ἔπεμψε δῶρα. Λεύκων Φράτερσιν κτλ.* ὦ Fritzschius Act. soc. gr. I 137] *ὁ. οἶσθά που* Fritzsch.] *ὑσθάτου. κατεδήδοκε* Fritzsch.] *κατεδήδωκε.* alter versus insuavissimus est propter caesuram neglectam ictusque (*τἀκπώματά*) pravitatem. scribendum est *τ ἀ κ π ώ μ α θ' ἃ κατεδ.*, i. e. *οἶσθά που τὰ Π. ἐκπώματα, ἃ Ὑπ. κ.* '*meministi opinor pocula illa Paapidis quae Hyperbolus furatus est*'. de forma *Μεγάκλεες* cf. quae adnotavimus ad Aristoph. Eq. 283. Eupol. 212. *Paapis* Aegyptius aliunde non cognitus. cf. Bergk. R. c. Att. 106. 7. regulus Aegyptiorum esse putatur; sed quidni mercatorem Aegyptium fuisse ponamus, poculis pretiosis Athenas adlatis ab Hyperbolo fraudatum?

2

Athenaeus 8, 343 c *κωμῳδοῦσι δ' αὐτὸν (Μ ε λ ά ν θ ι ο ν) ἐπ' ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν, Ἀριστοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ.*

3

Photius *Τίβιοι· ἔθνος. Λεύκων ἐν Φράτερσιν. τάχα δὲ οἱ αὐτοὶ τοῖς Τιβαρηνοῖς.* cum Tibareni (ĭ) Chalybum vicini fuerint, Scythiae gens (Pomp. Mel. 1, 20), Tibii (ī) autem Phrygiam incoluerint (Steph. Byz. *Τίβειον· τόπος Φρυγίας, ἀπὸ Τιβίου τινός. ἐκ τούτου καὶ Τιβίους τοὺς δούλους καλοῦσι*), Tibii pro Tibarenis commemorari vix poterant. fortasse servus aliquis in Leuconis fabula hoc nomen gessit. Luc. Tim. 22. Strab. 7, 304 *Τίβιον τὸν Παφλαγόνα* (*προσηγόρευον*) cf. 12, 553.

ΜΕΤΑΓΕΝΗΣ

Meinek. I 218.

ΑΥΡΑΙ

Suidas *Αὔρας* et *Μαμμάκυθον* duas Metagenis fabulas fuisse tradit. Athenaeus 8, 355 a *Μαμμακύθου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον* et 13, 571 b *τὰς Μεταγένους Αὔρας ἢ τὸν Ἀρισταγόρου Μαμμάκυθον* commemorat. hinc Meinekius quam Metagenes *Αὔρας* fabulam docuisset, eam Aristagoram paullulum inmutatam et no-

mine *Μαμμακύθου* inscriptam repetiisse probabiliter coniecit I 218. cf. Aristoph. Ran. 990 et Fritzsch. Ran. p. 185.

1

τίς ἡ Κολαινὶς Ἄρτεμις;
ἱερεὺς γὰρ ὢν τετύχηκα τῆς Κολαινίδος.

Schol. Aristoph. Av. 873 *Ἀρτέμιδι ἐπώνυμον ἡ Κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις κτλ. τίς ἡ* om. Ald., cuius sane auctoritas nulla est. unum loqui arguit *γάρ* particula: idem autem non potest simul sacerdotem se Dianae Colaenidis fuisse dicere et quae ea dea sit quaerere. scribendum videtur *τί σοι Κολαινὶς Ἄρτεμις; quid ad te pertinet?* cf. Aristoph. Eq. 1198. Thesm. 498. Diphil. 17, 4. 32, 18. Apollodor. com. 4, 3. Nicomach. 1, 24. et de *Colaenide Diana* Pausan. 1, 31, 5. Preller. Myth. gr.^{2} I 236 n. 1.

2

ἀλλ', ὦγαθέ, δειπνῶμεν πρῶτον, κἄπειτά με πάντ' ἐπερώτα,
ἅττ' ἂν βούλῃ· νῦν γὰρ πεινῶν δεινῶς πώς εἰμ' ἐπιλήσμων.

Athenaeus 9, 385 b *ἐξ Αὐρῶν Μεταγένους κτλ. πρῶτον* add. Porsonus. *πάντ'*] *πᾶν* Cobet. N. l. 142. non recte. *ἅττ'* K.] *ὅ τι.* cf. Bentlei Dobraeique adnotata ad Aristoph. Nub. 348. hoc fragmentum cum fr. 3 Bergkius R. c. Att. 421. 2 ita coniungit, ut fr. 2 alterius personae responsum esse statuat.

3

ὥσπερ ἐπειδὰν δειπνῶμέν που, τότε πλεῖστα λαλοῦμεν ἅπαντες.

Athenaeus 8, 355 a *ἐκ Μαμμακύθου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον κτλ.*

4

ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας
ὡραίας πρότερον, νῦν δ' οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα
ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.

Athenaeus 13, 571 b *κατὰ τὰς Μεταγένους Αὔρας ἢ τὸν Ἀρισταγόρου Μαμμάκυθον κτλ. νῦν δ' οὐχ*] *νῦν δ' αὖθ'* Bergkius R. c. Att. 422, quod necessarium videtur, nisi aut per interrogationem sententia efferatur aut post *ἔλυσαν* alterum membrum a particula *ἀλλά* incipiens excidisse statuatur. *χνοάζουσαι αὐλητρίδες* quomodo esse possint nescio. *χλοαζούσας* scribendum videtur, nisi forte genitalium lanugo significatur. *ἄνδρας φορτηγούς* Schweig-

haeuserus mercatores peregrinos interpretatur cum navibus onerariis in Piraeeum advectos. eorum membra viresque a meretricibus frangi. *ὑπό* coniungendum cum *ἔλυσαν*, *μισθοῦ* genetivus pretii est.

5

οἰκίσκον

ἐκάλουν οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον ... Μεταγένης Αὔραις. Harpocration. cf. Aristoph. fr. 405. 406. 441.

De aliis fragmentis fortasse ad Auras referendis cf. Bergk. R. c. Att. 422.

ΘΟΥΡΙΟΠΕΡΣΑΙ

Thurii Persarum more luxuriae dediti notantur. Lobeck. Paralip. 78 n. 12. Meinek. I 220. Athenaeus 6, 270a *οἱ Θουριοπέρσαι καὶ τὸ τοῦ Νικοφῶντος δρᾶμα* (*Σειρῆνες*) *ἀδίδακτά ἐστι.*

6

ὁ μὲν ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει
μάζας μεγίστας αὐτομάτους μεμαγμένας,
ὁ δ' ἕτερος ὠθεῖ κῦμα ναστῶν καὶ κρεῶν
ἑφθῶν τε βατίδων εἱλυομένων αὐτόσε.
τὰ δὲ μικρὰ ταυτὶ ποτάμι' ἐνμεντευθενὶ
ῥεῖ τευθίσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις,
ἐντευθενὶ δ' ἀλλᾶσι καὶ περικόμμασιν,
τῃδὶ δ' ἀφύαισι, τῇδε δ' αὖ ταγηνίαις.
τεμάχη δ' ἄνωθεν αὐτόματα πεπνιγμένα
εἰς τὸ στόμ' ᾄττει, τὰ δὲ παρ' αὐτὼ τὼ πόδε,
ἄμυλοι δὲ περινάουσιν ἡμῖν ἐν κύκλῳ.

Athenaeus 6, 269f *τῶν δὲ Μεταγένους ἐκ Θουριοπερσῶν μνημονεύσας καταπαύσω τὸν λόγον ... κτλ.* 2. *αὐτομάτους* P] *αὐτομάτας.* 3. *ἕτερος* Dindorf.] *ἕτερός γε ὁ Σύβαρις καλούμενος ποταμός.* extrema interpretationis causa addita esse intellexit Elmsl. Edinb. Rev. III 193. Porsonus *ὁ δ' ἕτερός ἐστιν ὁ Σύβαρις καλούμενος | ποταμός, ὃς ὠθεῖ κτλ.* 4. *εἱλυομένων*] *εἱλυόμενον* Schweighaeus. *αὐτόσε*] *αὐτόσσε* A. 5. *ἐνμεντευθενὶ* Elmsl. auctar. Aristoph. Ach. 108] *ἓν μὲν ἐντεῦθεν.* 6. *ῥεῖ* Elmsl.] *ῥέει.* 8. *τῃδὶ δ'*] *τιδιδ'* A. *ἀφύαισι* Villebrun.] *ἀφύλισι* A. *τῇδε δ' αὖ*] *τῃδεδὶ* Elmsl. 9. *δ'* Schweighaeus.] *λ'* A. 10. *ᾄττει*] *αἴττει* A. post v. 10 in Athenaei editione Meinekius lacunae signum posuit, ita fere explendae (Anal. crit. Ath. 118) *κυλίνδεθ' ἱκετεύονθ' ἑαυτὰ*

καταπιεῖν, conl. Teleclid. 1, 5. Pherecr. 108, 24. v. 5 *τὰ μικρὰ ποτάμια* sine dubio canaliculi sunt aquae per vias publicas ducti.

7

τίς τρόπος ἵππων; ὡς δ'. ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι.

Photius et Suidas *τίς τρόπος ἵππων; παροιμία ἐπὶ τῶν ἀλλοκότων. Μεταγένης Θουριοπέρσαις κτλ.* Hesychius *τίς τρόπος· παροιμία ἐπὶ τῶν ἀλλοκότων.* Plut. Proverb. 1, 83 *τίς τρόπος ἵππων· ἐπὶ τῶν παρηλλαγμένον τι καὶ ἀλλόκοτον ποιούντων.* — *τὸν*] fort. *τινα*, i. e. *ὡς β. τινα τρόπον οὗτοι ὀρχ.* chori saltationem dicit.

8

πίνακα

τὸ σκεῦος (i. e. *τήγανον*) *ὠνομασμένον καὶ παρὰ Μεταγένει τῷ κωμικῷ ἐν Θουριοπέρσαις.* Athenaeus 6, 228e.

9

συγκόψαι

ἐπὶ τοῦ πληγαῖς αἰκίσασθαι. Μεταγένης Θουριοπέρσαις. Bekker. Anecd. 114, 1. cf. Photius 555, 15. idem Photius 308, 24 et Suidas *ξενοκοπεῖν· ἐπὶ τοῦ πληγὰς ἔλαβον* (*λαβεῖν* Suid.). *οὕτω Μεταγένης.* recte Meinekius *ξυνεκόπην* pro *ξενοκοπεῖν*, perperam adversante Bernhardyo.

ΟΜΗΡΟΣ Η ΑΣΚΗΤΑΙ

Naupactum Lacedaemonii (fr. 10) Messeniis inde eiectis expugnaverunt Ol. 94, 4. Diodor. Sic. 14, 34. Pausan. 4, 26, 2. 10, 38, 10 (5). itaque circa id tempus fabulam actam esse arbitratur Meinek. I 221. cf. etiam Bergk. R. c. Att. 423. 4. Fritzsch. Q. Arist. 285. 6 n. 62.

10

καὶ Λύκων ἐνταῦθά που
. . *προδοὺς Ναύπακτον ἀργύριον λαβὼν*
ἀγορᾶς ἄγαλμα ξενικὸν ἐμπορεύεται.

Schol. Plat. 332 Bekk. *Μεταγένης ἐν Ὁμήρῳ εἰς προδότην* (*κωμῳδεῖ τὸν Λύκωνα*) *κτλ.* 2. *πέρυσι* supplet Meinekius. Bergkius R. c. Att. 422 *Α. καὶ Λ. ἐντ. Β. ποῦ; Α. ὁδὶ πρ. κτλ.* Eurip. El. 387 *αἱ δὲ σάρκες αἱ κεναὶ φρενῶν ἀγάλματ' ἀγορᾶς εἰσιν.* *ξενικὸν* corruptum videtur. scribendum *ἄγαλμ' ἀγορᾶς ξένοισιν ἐμπ.* '*inlustre peregrinis exemplum, ad quantam in foro et contione*

potentiam Athenis pervenire possint', dummodo civitatem furari discant. fuit enim Lycon (idem qui Socratem accusavit) peregrinus scholiasta Platonis teste ex Ionia oriundus Thoricoque pago adscriptus. *ἐμπορεύεται* ex tragicorum consuetudine desumptum esse Bergkius 423 monet conl. Soph. El. 405. OR. 455. fr. 788 N.

11

Schol. Aristoph. Av. 1297 (*Μειδίας*) *διαβάλλεται εἴς τε πονηρίαν . . . καὶ κλοπὴν* (sic Schneiderus pro *κλοπῆς*) *δημοσίων, ὡς Μεταγένης ἐν Ὁμήρῳ, καὶ συκοφαντίαν* (sic Dind. pro *συκοφαντίᾳ*). Ad Homerum praeterea fr. 17. 18 refert Schweighaeuserus.

ΦΙΛΟΘΥΤΗΣ

Atheniensium superstitiones hac fabula exagitasse videtur Meinekio I 221.

12

δίμυξον ἢ τρίμυξον ὡς ἐμοὶ δοκεῖ.

Pollux 6, 103 *Μεταγένης κτλ.* 10, 115 *Μεταγένους δέ· δίμυξον, ὡς ἐγὼ δοκῶ.* Athenaeus 15, 700f *μνημονεύει τοῦ διμύξου λύχνου καὶ Μεταγένης ἐν Φιλοθύτῃ.* Bekker. Anecd. 91, 3 *δίμυξον λύχνον· Μεταγένης Φιλοθύτῃ.*

13

ὦ πολῖται, δεινὰ πάσχω. B. τίς πολίτης δ' ἔστ' ἔτι
πλὴν ἄρ' εἰ Σάκας ὁ Μυσὸς καὶ τὸ Καλλίου νόθον;

Schol. Aristoph. Vesp. 1221 *τὸν Ἀκέστορα ξένον κωμῳδοῦσι τὸν τραγικὸν . . . οὐ κοινῶς ξένον, ἀλλὰ Μυσόν . . . καὶ Μεταγένης Φιλοθύτῃ κτλ. ἔστ' ἔτι* Meinek. V 53] *ἐστί.* Bergk. R. c. Att. 124 *ἐστὶ νῦν. ἄρ' εἰ Σάκας* Bergk.] *ἀρισάκας* V. *ἀρσάκας* Ald. cf. quae adnotavimus ad Aristoph. Nub. 361. de subditivo Calliae filio cf. Andocid. 1, 125—127.

14

κατ' ἐπεισόδιον μεταβάλλω τὸν λόγον, ὡς ἂν
καιναῖσι παροψίσι καὶ πολλαῖς εὐωχήσω τὸ θέατρον.

Athenaeus 10, 459c *κατὰ γὰρ τὸν Μεταγένους Φιλοθύτην κτλ.* Pollux 10, 88 *τὰς δὲ παροψίδας ἡ μὲν πλείστη χρῆσις ἐλέγχει τοὔνομα ἐπὶ μάζης ἢ ζωμοῦ τινος ἢ ἐδέσματος εὐτελοῦς· οὐ μὴν ἀλλὰ κἀπὶ τὸ ἀγγεῖον ἑλκτέον τὴν κλῆσιν . . . τὸ μὲν ἐν τῷ Μεταγένους Φιλοθύτῃ ὡς ἂν — θέατρον, οἶδ' ὅτι ἐστὶν ἀμφίβολον. κατ'*

ἐπεισόδιον] *καὶ ἐπεισοδίοις* Fritzsch. De parops. 9. non recte. *καιναῖσι* Dind.] *καιναῖς. πολλαῖσι π. καὶ καιναῖς* Pollux. ac sic in Ath. Meinek. at Dionys. 2, 37 *πολυτελῶν* | *πολλῶν τε δείπνων*. ceterum falluntur qui *ἐπεισόδιον* tragoediae tantummodo esse opinantur. De comoed. Cram. Anecd. Par. I 403 (p. XXVII a Duebn.) *μέρη τῆς κωμῳδίας τέσσαρα· πρόλογος, χορικόν, ἐπεισόδιον, ἔξοδος . . . ἐπεισόδιόν ἐστι τὸ μεταξὺ δύο χορικῶν μελῶν*. neque ulla causa excogitari potest cur eandem fabulae partem Athenienses in tragoedia aliter, aliter in comoedia adpellare debuerint. non minus perversum est Metagenis sententiam Cratini fragmento 195, i. e. solem densissima caligine inlustrare. Metagenes enim in parabasi ut videtur suarum fabularum virtutes praedicans *unoquoque episodio* nova quaedam inventa contineri dicit, ut spectatores quasi in convivio multis semperque novis ferculis delectentur. cf. Aristoph. Nub. 756. 1287. ac similiter Athenaeus postquam de griphis disputavit proximo libro Metagenis exemplo aliam rem se tractaturum profitetur.

15

λαθροφαγεῖν

Μεταγένης Φιλοθύτῃ. Bekker. Anecd. 106, 12. Pollux 6, 40 *Μεταγένης δὲ καὶ λαθροφαγεῖν πον λέγει.*

ΑΔΗΛΩΝ ΔΡΑΜΑΤΩΝ

16

ῥαφανῖδος,
ἀμύλου, λεκίθων, καρύων, ζωμοῦ, πολφῶν, οἴνου, κολοκύντης.

Erotianus 111, 11 Klein. *πολφοί· βολβοί. ὡς Μεταγένης φησί κτλ. βολβοί* ad Metagenis verba pertinere putat Cobetus (*βολβῶν, ῥαφανῖδος*). *λεκίθων* vel potius *λεκίθου* Meinekius] *λεκύθων. οἴνου* corruptum iudicat Meinekius. idem *κολοκύντης* conl. Phryn. Epit. 437 Lob.] *κολοκύνθης.*

17. 18

Athenaeus 6, 270e *θεασάμενος πλῆθος ἰχθύων καὶ ἄλλων παντοδαπῶν ὄψων παρασκευὴν εἰσκυκλουμένην . . . ἀνέκραγεν·*

τέτλαθι δή πενίη καὶ ἀνάσχεο μωρολογούντων·
ὄψων γὰρ πλῆθός σε δαμᾷ καὶ λιμὸς ἀτερπής.

deinde 271a *δεῖ οὖν κἀμὲ κατὰ τὸν κωμικὸν Μεταγένην ἐπειπόντα*

εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ δείπνου

τετλάναι.

Schweighaeuserus non solum versum extremum, sed etiam duo

priores Metageni tribuebat ad Homerum referens, ac sic Fritzschius Q. Arist. 285, Bergkius R. c. Att. 422, qui tamen ad Auras haec pertinere censet. Meinekius priores Hegemonis (Athen. 15, 698 d) esse arbitratur. praeterea Fritzschius Q. Arist. 286 n. 62 tertium versum duobus prioribus anteponit.

19

δουλάρια

Μεταγένης. Pollux 3, 76.

ΑΡΙΣΤΑΓΟΡΑΣ

Meinek. I 218. Fritzsch. Aristoph. Ran. p. 185. 323. cf. ea quae ad Auras Metagenis adnotavimus.

ΜΑΜΜΑΚΥΘΟΣ

1

ὥσπερ ἐπειδὰν δειπνῶμέν που, τότε πλεῖστα λαλοῦμεν ἅπαντες.

Athenaeus 8, 355 a. cf. Metagen. 3.

2

ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας
ὡραίας πρότερον· νῦν δ' οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵτε τάχιστα
ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.

Athenaeus 13, 571 b. cf. Metagen. 4.

3

ἀνθέων

τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί . . . Ἀρισταγόρας Μαμμακύθῳ. Bekker. Anecd. 404, 28 et Suidas *ἀνθέων.*

4

βασιλεύς

χωρὶς τοῦ ἄρθρου. Ἀρισταγόρας Μαμμακύθῳ. Bekker. Anecd. 85, 25. i. e. rex Persarum.

5

ἱμάντας

τοὺς τῶν ἱστίων. Ἀρισταγόρας. Photius.

6

λακκόπεδον

τοὺς ὄρχεις. οὕτως Ἀρισταγόρας. Photius. Ἀρισταγόρας Meinek. I 220] Ἀνταγόρας. Hesych. λακκόπεδα . . φησὶν διαχαλασθέντος ὀσχέου καὶ τῶν διδύμων κρεμασθέντων καλεῖσθαι λακκόπεδα.

7

σπεῖρα

ἡ συστροφὴ καὶ τὸ ἄθροισμα. οὐχ ὅπως παρὰ τοῖς τραγικοῖς, ἀλλὰ καὶ ἐν Μαμμακύθῳ. Photius.

ΣΤΡΑΤΤΙΣ

Meinek. I 221 sq.

ΑΓΑΘΟΙ

Dubitabant veteres Pherecratis an Strattidis esset. cf. quae ad Pherecratis fabulam adnotavimus.

ΑΝΘΡΩΠΟΡΡΑΙΣΤΗΣ

Titulum ad ἀγωνοθέτην pertinere, i. e. ἄρχοντα βασιλέα, qui primas partes Orestis Euripideae Hegelocho histrioni dederat (fr. 1) eoque spectatorum voluptatem perdiderat, Meinekius monet I 224. perperam interdum Ἀνθρωπορέστης. simplici ρ nomen scribendum esse Dindorfius censet Schol. Eurip. IIII 257, poetam eo in trimetris iambicis usum esse ratus: quae admodum dubia res est.

1

καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν,
Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον
διέκναισ' Ὀρέστην, Ἡγέλοχον τὸν Κυννάρου
μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

Schol. Eurip. Orest. 279 πολλοὶ μὲν οὖν διέπαιξαν τῶν κωμικῶν (τὸν Ἡγέλοχον) . . . Στράττις ἐν Ἀνθρωπορραίστῃ κτλ. 3. διέκναισ'] δι' αἴκνεσ' A. Ὀρέστην] ὀρέστηι IB. Κυννάρου Dindorf.] κυντάρου ABM. κιννάρου I. Κιννάρου Bentleius. ac Cinnarus, πορνοβοσκὸς Σελινούσιος commemoratur Zenob. 1, 31, ubi nulla codicum discrepantia enotatur, et Hesych. ἁρπαγὴ τὰ Κιννάρου. τὰ πρῶτα τῶν ἐπῶν λέγειν i. e. *primas partes agere*. cf. fr. 60 et Aristoph. Ran. 303.

2

τῶν δὲ διδύμων ἐκγόνων σεμιδάλιδος

Athenaeus 3, 127 d σεμιδάλεως δὲ μέμνηται ... Στράττις ἐν Ἀνθρωπορρέστῃ· τὴν γενικὴν δὲ σεμιδάλιδος εἴρηκεν ὁ Στράττις ἐν τῷ αὐτῷ δράματι οὕτως κτλ. Pollux 6, 73 Στράττις δὲ καὶ τὴν γενικὴν εἴρηκε σεμιδάλιδος. videntur trimetri esse, quorum alter incipit a τοῦ σεμιδάλιδος. Iacobs. Addit. 85 πινῶν δέ. Meinekius post διδύμων inseruit τῶν. ut unum scilicet versum efficerent. 'farinae filios duos panes. Archestr. Athen. 3, 112 b τὸν ἐκ Τεγέας σεμιδάλεως υἱὸν ἐπαινῶ. 4, 137 e Δήμητρος παῖδ' ἄρτον ἐκκαυθέντα κεκαυμένα.' adde Philyll. 4. σεμιδάλιδος dixisse videtur, 'quod de farina tamquam de persona loquitur. fuit enim Σεμιδάλις nomen proprium. Alexid. Athen. 4, 134 c. 6, 242 d.' Meinek.

ΑΡΓΥΡΙΟΥ ΑΦΑΝΙΣΜΟΣ

Titulus dubius. cf. Meinek. I 224.

ΑΤΑΛΑΝΤΗ

Schol. Aristoph. Ran. 146 καίτοι ὕστερον τῶν Βατράχων δεδίδακται ἡ Ἀταλάντη ὁ Ἀταλάντος codices) Στράττιδος. cf. Suid. σκῶρ. Atalantam scripserunt etiam Callias, Euthycles, Alexis, Philyllius, Philetaerus. Meinek. I 225. sine dubio fabulam de Atalanta et Meleagro vel Milanione comice tractaverat.

3

καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
εὑρεῖν με συκάζουσαν, εἶθ' ἥκειν ταχὺ
τὸν αὐλοτρύπην αὐτόν.

Vit. Isocr. p. 256 Westerm. σκώπτουσι δ' αὐτὸν (Ἰσοκράτη) οἱ κωμικοὶ ἐπὶ τῇ Λαγίσκῃ, ὧν εἷς ἐστι καὶ Στράττις λέγων ταῦτα ἐν Ἀταλάντῃ κτλ. Athenaeus 13, 592 d Ἕρμιππος προβαίνοντά φησι τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις ἐν τούτοις κτλ. cf. Harpocrat. Λαγίσκα ... Λαγίσκας τῆς ἑταίρας μνημονεύει καὶ Στράττις ὁ κωμικὸς οὕτω κτλ. Plutarchus Mor. 836 e ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους (fr. 700) καὶ Στράττιδος. Pollux 4, 71 καὶ αὐλοτρύπης, ὡς ἡ κωμῳδία. Suidas Φιλίσκος· ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος. διὸ καὶ αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει. imo Isocrates αὐλοτρύπης dicebatur, quia pater eius tibiis fabricandis operam dederat. καὶ τὴν om. Harpocr. τὴν om. Vit. Isocr. Λαγίσκαν] Λαγίσκην Vit. Isocr. ac Λαγίσκαν etiam Lysias fr. 155 Turic. 2. εὑρεῖν] ἰδεῖν Athen. Harpocr.

με] *μὲν* V. Isocr. *εἶθ' ἥκειν ταχὺ* V. Isocr.] *εὐναίαν ἔτι* Athen. Harpocr. (*εὔνοιαν* Ath. B). 3. *τὸν* V. Isocr.] *τόν τ'* Athen. Harpocr. *αὐλοτρύπην* Athen. Harp.] *αὐλότρυπον* V. Isocr. Bekkerus in Harpocratione *οὕτω A.* — *παλλακὴν ἴδοιμι κτλ. εὐναίαν in lupanari* degentem interpretantur Schweighaeuserus et alii talium rerum amatores. nihil aliud significat quam *in lecto*. Hesych. *συκάζειν· ... τὸ κνίζειν ἐν ταῖς ἐρωτικαῖς ὁμιλίαις.* ceterum utraque lectione coniuncta scribendum videtur *καὶ μὴν A. τ. Ἰσ. π.* | *εὑρεῖν* (vel *ἰδεῖν*) *με σ. εὐναίαν ἔτι,* | *ἔπειτα δ' ἥκειν αὐλοτρύπην αὐτὸν ταχύ.*

4

ὑπογάστριον θύννου τι κἀκροκώλιον
δραχμῆς ὕειον

Athenaeus 7, 302d *Στράττις Ἀταλάντῃ κτλ.* v. 1 etiam 9, 399d. *τι* 399d] *τε* 302d. *ὕειον* Casaub.] *υἱόν*.

5

Schol. Aristoph. Ven. Pac. 347 *ὁ δὲ δεύτερος* (*Φορμίων*) *ἦν κωφός· μέμνηται καὶ Στράττις. τρίτος μοιχός· Κρατῖνος Ἀταλάντῃ· τέταρτος Κροτωνιάτης ἀρχαῖος· Κρατῖνος Τροφωνίῳ. Ἀταλάντῃ* post *Στράττις* transponit Dindorfius Cratini fabulae nomen excidisse existimans.

6

Hesychius *Διονυσοκουροπυρώνην. τὸν γὰρ Διονύσιον κουρέα ὄντα κωμῳδεῖ. κουρεὺς δὲ ἦν πρὸς πάππου, ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς.* cf. Cratin. 208.

7

Schol. Aristoph. Av. 1294 *μνημονεύει αὐτοῦ* (*Ὀπουντίου*) *μέγα ῥύγχος ἔχοντος καὶ ὁ τὰς Ἀταλάντας γράψας.* verba *καὶ — γράψας* desunt in R. *ὁ τὰς Ἀταλάντας γράψας* (fr. 6. 7) idemne sit ac Strattis an alius dubitatur. illud veri similius est, cum *Στράττις ἐν Ἀταλάνταις* etiam a Suida adferatur (fr. 8).

8

διφροφόροι

Στράττις ἐν Ἀταλάνταις. Suidas.

9

σκῶρ

Schol. Aristoph. Ran. 146 *τινές φασι τῷ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῃ δράματι. ψεῦδος δέ· πολλῷ γὰρ ὕστε-*

ρον τῶν Βατράχων ἢ Ἀταλάντῃ Στράττιδος δεδίδακται. cf. Suidas σκῶρ. σκῶρ, non σκώρ scribendum esse docet Lobeck. Paralip. 77.

ΖΩΠΥΡΟΣ ΠΕΡΙΚΑΙΟΜΕΝΟΣ

Zopyrus potest esse aut paedagogus Alcibiadis, de quo cf. Plat. Alcib. I 22b. Plut. Alcib. 1. Clem. Alex. Paedag. 130 P. Ἀλκιβιάδου δὲ τὴν πορνείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος, ἀλλ' ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος ἦν, aut ille Zopyrus, cuius nomen dialogo Socratico Phaedo inscripsit. Bekker. Anecd. 107, 3 λογάριά μοι λέγει. Φαίδων Ζωπύρῳ. (cf. Aristoph. fr. 810.) Theon. Progymn. 177 Walz (75 Spengel) παρὰ τῷ Σωκρατικῷ Φαίδωνι ἐν τῷ Ζωπύρῳ. cf. Meinek. I 225. Menandr. Philem. p. 237. Spinthari tragici Ἡρακλέα περικαιόμενον a Strattide exagitatum esse idem Meinekius suspicatur I 226.

10

Hesychius οὐ μάλα κικκάς· παροιμία τὸ μηδὲν σημαίνουσα. ὠνήτης δὲ κικκὰς (cod. κοκκὰς) οὐ μάλα φαίνεται. καὶ Στράττις ἐν Ζωπύρῳ περικαιομένῳ· τῶν οὐ μάλα τέθηκα κεκυκκᾶν ἐπικρατῇ. Ἐπικράτῃ Meinek. (cf. I 182). Photius οὐ μάλα κυκκᾶ· τὸ μηδέν. et οὐ μάλα κυκκᾶς· παροιμία οὐδὲν (potius τὸ μηδὲν) σημαίνουσα. Diogenian. 7, 4 et Apostol. 13, 38 οὐ μάλα κυκᾷς· ἐπὶ τῶν μηδὲν ὄντων. Plut. Prov. 2, 4 οὐ μάλα κυκᾷς· κατὰ τῶν μηδὲν ὄντων. lucem videntur adferre Plaut. Rud. 2, 7, 22 (580) *eluas tu an exungare, ciccum non interduim*. Varro L. l. 7, 5, 98 *ciccum dicebant membranam tenuem, quae est in malo Punico discrimen*. Lobeck. Pathol. prol. 254 'κικκάβινον τὸ ἐλάχιστον (Hesych.) a κίκκος, quod Schneiderus commode restituit pro κικαῖος τὸ τῶν καρπῶν λέπος, latinum *ciccus*'. cf. 286. 7. Hesych. κύκκαρος· τὸ ἐλάχιστον. quod fortasse nihil aliud est quam κίκκαβος cf. Phot. 164, 18. 19. Pollux 9, 83. scribendum videtur οὐ μάλα γ' ἔθηκ' ἀλλ' οὐδὲ κίκκον Ἐπικράτῃ. cf. Aristoph. Nub. 1396. Pac. 1223.

ΙΦΙΓΕΡΩΝ

Apollophani ab aliis tribuebatur. cf. Bekker. Anecd. 83, 27. Suid. ἀδελφίζειν. Meinek. I 226. Apolloph. fr. 3 et 4.

ΚΑΛΛΙΠΠΙΔΗΣ

Nomen duxisse videtur a clarissimo tragoedo, de quo cf. quae adnotavimus ad Aristoph. fr. 474. ex quibus corrigi possunt quae Meinekius disputavit I 227 init.

11

αὐτίκα δ' ἥρπασε τεμάχη
θερμάς τε κάπρου φλογίδας ἔβρυχέ τε πάνθ' ἅμα.

Athenaeus 14, 656b τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες. Στράττις γοῦν ἐν Καλλιππίδῃ ἐπὶ τοῦ Ἡρακλέους φησὶν κτλ. ἔβρυχέ A] κατέβρυξέ Meinekius anapaesticos versus constituens. sed idem in Athenaeo cum Dindorfio scripsit ut nos supra edidimus.

12

Athenaeus 7, 304b μνημονεύει δὲ τῶν θυννίδων καὶ Στράττις ἐν Καλλιππίδῃ.

ΚΙΝΗΣΙΑΣ

Scripta fuit in Cinesiam poetam dithyrambicum, Meletis citharoedi filium. cf. Harpocr. 111, 20. Athen. 12, 551d. fr. 15. 18. 19 et quae adnotavimus ad Aristoph. Ran. 153. ad Ol. 96 vel 97 refert Meinekius I 227—230.

13

τὰ δ' ἄλφιθ' ὑμῖν πῶς ἐπώλουν; B. τεττάρων
δραχμῶν μάλιστα τὸν κόφινον. A. τί λέγεις; μέτρῳ
ἐχρῶντο κοφίνῳ; ἢ . . . τοῦτ' αὖθ' ὅτι
οἴνου κόφινος, δυνάμενος τρεῖς χόας πυρρῶν
ταῖς κοφίναις ταὐτὰ ταῦτα δυνάμενος.

Pollux 4, 169 οὐ μόνον δὲ ἡ κοτύλη καὶ ὑγρῶν ἦν καὶ ξηρῶν μέτρον, ὡς πολλαχόθεν ἡ κωμῳδία ὑποδηλοῖ, ἀλλὰ καὶ κόφινος μέτρον Βοιώτιον ἄμφω μετροῦν. Στράττις γοῦν φησιν ἐν τῷ Κινησίᾳ κτλ. 'sic A, lacuna 9—10 litterarum capace'. Bekker. v. 3 scribendum videtur ἐχρῶντο κοφίνῳ; B. νὴ Δία καὶ τοῦτ' ἴσθ' ὅτι κτλ. reliqua non magis quam Meinekius expedio. Hesych. κόφινος· μέτρον χωροῦν χόας τρεῖς.

14

ἁλμυρόν θ' ὕδωρ,
ἕτερόν τε λεπτὸν ἐν ἁλίᾳ κεκομμένον.

Pollux 10, 169 καὶ ἁλία δὲ σκεῦός τι ἦν πύξινον, ᾧ τοὺς ἅλας ἐντρίβουσιν . . . Στράττις δὲ ἐν Κινησίᾳ κτλ. ἕτερον] νίτρον vel κέγχρον Meinekius. scribendum est τυρόν. describitur enim miserrimus nescio cuius victus. Antiphan. Athen. 9, 402e (v. 8) τυρὸς κοπτός. Athen. 14, 658d τοὺς δὲ λεπτοὺς τῶν τυρῶν.

15

Schol. Arist. Ran. 404 *χρόνῳ δ' ὕστερον οὐ πολλῷ τινι καὶ καθάπαξ περιεῖλε Κινησίας τὰς χορηγίας· ἐξ οὗ καὶ Στράττις ἐν τῷ εἰς αὐτὸν δράματι ἐφῇ σκηνῇ μὲν τοῦ χοροκτόνου Κινησίου.* 'requiritur *μέμνηται* vel simile quid' Dindorf. pro *ἐφῇ σκηνῇ μὲν* Meinekius *ἔφη· σκηνὴ μέν ἐστιν ἥδε τοῦ χ.* | *Κιν.* G. Hermann. Annàl. Vindob. CX 78 *σκευὴ μὲν οὖν χ. Κ.* Cobetus N. l. 10 *σκηνὴ μὲν ἥδε τοῦ χ. θεοῦ* | *Κινησίου* conl. Sophocl. El. 6, his verbis poetam fabulam exorsum esse existimans. at quis deus *σκηνὴν* habet? Fritzschius Aristoph. Ran. p. 196 *σκλῆναι μετὰ τοῦ χ. Κ.*, Sannyrionem intellegens. '*exarescere cum choricida Cinesia.*'

16

Schol. Aristoph. Av. 1569 *εἶχε δὲ (Λαισποδίας) καὶ περὶ τὰς κνήμας αἰτίας τινάς, ὥς φησι Στράττις ἐν Κινησίᾳ. αἰτίας ἔχειν* pro *accusari, inrideri* grammatici haud raro dicunt. Meinekius V 53 adfert Hesych. *λεσβίσαι· αἰτίας εἶχον ἀτόπους αἱ ἀπὸ Λέσβου.*

17

Schol. Aristoph. Plut. 550 (*Θρασύβουλος*) *μήποτε ὁ ἀξιωματικὸς καὶ αὐθάδης, ὡς Στράττις ἐν τῷ Κινησίᾳ.* 'indicari videtur is Thrasybulus, cuius mentio fit in Eccles. 203: nam ibi quoque describitur a scholiaste *αὐθάδης καὶ δωροδόκος* (356) et *ὑπερόπτης τοῦ δήμου.* idemne fuerit qui Colyttensis necne, non affirmaverim'. Hemsterhus.

18

Athenaeus 12, 551 d *ἦν δὲ ὄντως μακρότατος καὶ λεπτότατος ὁ Κινησίας, εἰς ὃν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις, Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν, διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ Φθιῶτα λέγειν. παίζων οὖν εἰς τὴν ἰδέαν αὐτοῦ ἔφη Φθιῶτ' Ἀχιλλεῦ.* cf. Aristoph. Ran. 1264.

19

Harpocratio 111, 24 (*μέμνηται Κινησίου*) *Στράττις ὅλον δρᾶμα ποιήσας εἰς αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν αὐτοῦ κωμῳδεῖ.*

20

Pollux 10, 189 *Στράττις ἐν τῷ Κινησίᾳ τὸν Σαννυρίωνα διὰ τὴν ἰσχνότητα κάναβον καλεῖ.* cf. quae adnotavimus ad Aristoph. fr. 699.

21

Erotianus 85, 14 Klein. *καμμάρῳ· ἐφ' ἱδρῶσι δὲ παραλαμβάνειν . . . Στράττιν ἐν κυνηγοῖς λέγοντα* . . . Strattidis verba interierunt. *Κινησίᾳ* pro *κυνηγοῖς* Maussac. Harpocrat. II 306 (ed. Dindf.). ceterum *κάμμορον, κάμμαρον, κάμαρον* scribitur: est medicamentum refrigeratorium, *φάρμακόν τι ψυκτικὸν ἢ τάχα τὸ κώνειον* Erotian. 86, 4.

Ad Cinesiam Meinekius praeterea refert fr. 64.

ΛΗΜΝΟΜΕΔΑ

Nominis ratio obscura est, forma in codicibus multum variata. cf. Meinek. I 231. comparari potest *'Ανδρομέδα*. fortasse Lemniarum mulierum fata ridicule traducebantur.

22

Ἑρμῆς, ὃν ἕλκουσ' οἱ μὲν ἐκ προχοιδίου,
οἱ δ' ἐκ καδίσκου γ' ἴσον ἴσῳ κεκραμένον.

Athenaeus 11, 473c *μνημονεύει τοῦ καδίσκου καὶ Στράττις ὁ κωμικὸς ἐν Λημνομέδᾳ λέγων οὕτως κτλ.* idem 1, 32b *Ἑρμῆς δ' εἶδος πόσεως παρὰ Στράττιδι.* Eustathius 1470, 64. 2. *γ'* addidit Fritzschius Q. Arist. 269. Porsonus *σ'*. cf. Cratin. 193. Photius *Ἑρμῆς· πόσεως εἶδος· ὡς ἀγαθοῦ δαίμονος καὶ Διὸς σωτῆρος.* similia Hesychius *Ἑρμῆς*.

23

Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν.

Schol. Plat. 320 Bekk. *τῶν δὲ βόλων ὁ μὲν τὰ ἓξ δυνάμενος Κῷος καὶ ἑξίτης ἐλέγετο, Χῖος δὲ ὁ τὸ ἕν, καὶ κύων. λέγεται δέ τις καὶ παροιμία ἀπὸ τούτου οἷον Χῖος παραστὰς Κῷον οὐκ ἐάσω· ἀφ' οὗ καὶ Στράττις Λιμνοπέδαις κτλ.* Eustathius 1397, 41. Zenob. 4, 74 *Κῷος Χίῳ· ὁ Κῷος ἀστράγαλος ἠδύνατο ἕξ. παροιμία δέ ἐστι Χῖος πρὸς Κῷον. ὁ μὲν γὰρ Χῖος ἠδύνατο ἕν, ὁ δὲ Κῷος ἕξ.* Append. prov. 5, 28 *Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν. ἀπὸ ἀστραγάλων παρῳδήθη ἡ παροιμία.* Apostol. 18, 26a *Χῖος παραστὰς οὐκ ἐᾷ Κῷον λέγειν*, falsa interpretatione addita. idem 10, 35 *Κῷος πρὸς Χῖον· ὅταν ἐλάττω πρὸς μείζω τις παραβάλλει.* discernenda igitur sunt duo proverbia: *Κῷος πρὸς Χῖον*, i. e. optimus talorum iactus prae pessimo, et *Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν* vel *οὐκ ἐάσω*, i. e., si Sauppium sequimur, *οὐκ ἐᾷ σῴζειν* (vers. choliamb.). cf. Diphil. Athen. 6, 247a (v. 4) *οὐκ ἄν ποτε Εὐριπίδης* (talorum iactus) *γυναῖκα σώσειεν.* Cous enim iactus erat optimus (6. 6. 6. 6), quem qui iecisset, iactum iterabat. periculum igitur erat

ne iacto Chio omne lucrum periret. cf. etiam Fritzsch. Aristoph. Ran. p. 229 sq.

24

ὑποδήματα
σαυτῷ πρίασθαι τῶν ἁπλῶν

Harpocratio ἁπλᾶς . . . Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι. Στράττις Λημνομέδᾳ κτλ. πρίασθαι] περιᾶσθαι F. περίασθαι M.

25

πολλοὺς ἤδη μεγάλους τε φάγρους ἐγκάψας

Athenaeus 7, 327 e μνημονεύει τοῦ φάγρου καὶ Στράττις ἐν Λημνομέδᾳ κτλ. ἤδη Meinek.] δή. sunt anapaestici tetrametri (vel duorum dimetrorum) reliquiae.

ΜΑΚΕΔΟΝΕΣ Η ΠΑΥΣΑΝΙΑΣ

Pausanias videtur significari Ceramensis, Agathonis amator, quem apud Archelaum Macedoniae regem fuisse narrat Aelianus V. h. 2, 21. unde cum tituli ratio explicari videatur, consentaneum est fabulam actam esse post Ol. 93, 1. Meinek. I 231. 2.

26

A. εἰσὶν δὲ πόθεν αἱ παῖδες αὗται καὶ τίνες;
B. νυνὶ μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶ δὲ
Κορίνθιαι· Λαῒς μὲν ἡδὶ Μεγακλέους.

Athenaeus 13, 589 a Στράττις ἐν Μακεδόσιν ἢ Παυσανίᾳ. εἰσὶν δὲ πόθεν Schweighaeuser.] εἰσὶ δὲ (vel δ') ὅθεν BP. νυνὶ Porson. Aristoph. Av. 521 p. 175] νῦν. 3. ἡδὶ Dindorf. Μεγακλέους Porson.] ἡ μέγα κλέος ἰδὶ B et fortasse A, qui ἰδὲ praebet teste Schweigh. — '*Megaclis serva*'. significatur Laïs maior. cf. Gell. 1, 3 et interpr. Horat. Epist. 1, 17, 36.

27

πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια,
οὓς βόσκεθ' ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Athenaeus 14, 654 f ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς (pavones) ἐν ταῖς οἰκίαις Στράττις παρίστησιν ἐν Παυσανίᾳ διὰ τούτων κτλ. ταῶν Meinek.] ταῶν. cf. quae adnotavimus ad Aristoph. Av. 102.

28

ἡ σφύραινα δ' ἐστὶ τίς;
B. κέστραν μὲν ὕμμες ὠττικοὶ κικλήσκετε.

Athenaeus 7, 323b Στράττις γοῦν ἐν Μακεδόσιν ἐρομένου τινὸς Ἀττικοῦ ὡς ἀγνοοῦντος τὸ ὄνομα (σφύραινα), καὶ λέγοντος· ἡ — τίς; φησὶν ὁ ἕτερος· κέστραν κτλ. ὠττικοὶ Schweighaeus.] ὠττικοί. Athenaeus 8, 355d αἱ σφύραιναι τῶν γόγγρων εἰσὶ τροφιμώτεραι. σφύραινα pro κέστρα Macedones dixisse ex titulo comoediae conligit Herwerd. Mnem. nov. IIII 307.

29

πνικτόν τι τοίνυν . . ἔστω σοι συχνὸν
τοιοῦτον.

Athenaeus 9, 396a Στράττις . . . ἐν Μακεδόσιν ἢ Κινησίᾳ. ὄψον supplet et Παυσανίᾳ pro Κινησίᾳ Meinekius, et in Anal. crit. 171 ἐστί pro ἔστω. scribendum videtur A. πνικτόν τι τοίνυν ὄψον ἔστι σοι; B. πυκνὸν | τοιοῦτον.

30

τὸν πέπλον δὲ τοῦτον
ἕλκουσ' ὀνεύοντες τοπείοις ἄνδρες ἀναρίθμητοι
εἰς ἄκρον ὥσπερ ἱστίον τὸν ἱστόν.

Harpocratio τοπεῖον· τοπεῖα λέγουσι τὰ σχοινία. Στράττις Μακεδόσι κτλ. Etymol. m. 762, 20 Στράττις Μακεδόσι· τὸν πέπλον — ἄνδρες. ac sic Photius 595, 18 et Suidas τοπεῖον. ἕλκουσ' ὀνεύοντες Meinekius probante Boeckhio Oec. Att. III 144] ἕλκουσι δονεύοντες Harpocr. codices plerique. δεσμεύοντες Etym. Phot. Harp. D. τοπείοις] τὸ πιεις Phot. m. pr., τοπιεῖς corr. ἄκρον] ἄλλον B Harp., ἄκραν Hemsterhus. Poll. 10, 130. τὸν om. C Harp. ἱστὸν Dobraeus Advers. I 589] εἰς τόν. Bekker. Anecd. 57, 21 ὀνεύειν· τὸ περιάγειν τὰ μηχανήματα, οἷς τούς τε λίθους καὶ τὰ ἄλλα ἕλκουσιν (ἀνέλκουσιν?). ὄνος δ' ἐστὶν αὐτὸ τὸ μηχάνημα τὸ διὰ τροχιλιῶν καὶ σχοινίων. Thucyd. 7, 25 confert Meinekius. Photius 116, 11 ὁ μὲν ἱστός, τὸ ἐπίμηκες ξύλον ἄνω τεταμένον· κεραία δέ, τὰ πλάγια, ὥστε γενέσθαι (scr. γίνεσθαι) γράμμα τὸ ταῦ· διετείνετο δὲ πολλάκις ὁ τῆς Ἀθηνᾶς πέπλος εἰς τοιοῦτο σχῆμα ξύλων καὶ ἐπόμπευσεν (ἐπόμπευεν). cf. Aristoph. Eq. 566. Michaelis Parthenon. 212. iure priore vocis ἄκρον syllaba producta offenditur Herwerden. Mnem. nov. VI 59. scilicet syllabae tres excidisse videntur, veluti εἰς ἄκρον ἑκάστοθ' ὥσπερ κτλ.

31

ὑπογάστριά θ' ἡδέα θύννων

Athenaeus 7, 302e ἐν δὲ Μακεδόσιν (Στράττις ἔφη) κτλ. Bekker. Anecd. 263, 10 ἠρινῶν· τῶν θυννίδων τῶν τῷ ἔαρι τεταριχευμένων, unde conicio scribendum esse ὑπογάστριά τ' ἠρινὰ θύννων.

32

Μακεδόνισσαν

τὴν γυναῖκα. Στράττις Μακεδόσιν. Bekker. Anecd. 108, 29. Ad hanc fabulam propter fr. 30 fortasse referendum est fr. 69.

ΜΗΔΕΙΑ

Tragicae Medeae fata hac fabula traducta fuisse ex fragmentis cognoscitur. Meinek. I 232.

33

καὶ λέγ' ὅτι μύρον αὐτῇ φέρεις
τοιοῦτον, οἷον οὐ Μέγαλλος πώποτε
ἥψησεν, οὐδὲ Δεινίας ἁγύπτιος
οὔτ' εἶδεν οὔτ' ἐκτήσατο.

Athenaeus 15, 690f μνημονεύει (Μεγάλλου) Στράττις ἐν Μηδείᾳ κτλ. αὐτῇ φέρεις Iacobs.] φέρεις αὐτῇ. Erfurdt. Observ. 471 φέρεις αὐτῇ μύρον. 3. Δεινίας Schweighaeus.] Δινίας. ἁγύπτιος (i. e. ὁ Αἰγ.) K.] Αἰγύπτιος. 4. εἶδεν] οἶδεν Meinek. Anal. crit. 337. de unguento Megalleo cf. Pherecr. 140. Aristoph. fr. 536. Diniae nomen homini Aegyptio inditum est, postquam Athenis consedit. cf. Archipp. 25. — sunt verba Medeae Creontis filiae fatalia illa dona mittentis.

34

οἶσθ' ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα σου;
ἐγᾦδα· δίνῳ περὶ κάτω τετραμμένῳ.

Athenaeus 11, 467e Σέλευκος δ' εἰπὼν ἐκπώματος εἶναι γένος τὸν δεῖνον, παρατίθεται Στράττιδος ἐκ Μηδείας κτλ. βρέγμα i. q. βρεχμός Hom. Il. 5, 586. Photius 418, 4 περι κάτω (π̄κάτω cod. Dobr. 708, in ed. per errorem περικατατραπήσεται) τραπήσεται· ἀντὶ τοῦ περιτραπήσεται κάτω· συνήθως λέγουσιν. δίνῳ Cobet. V. l.[2] 90] δείνῳ. cf. Aristoph. Nub. 1474. aliud poculi genus est ἡ δεινιάς, ab inventore Dinia adpellata. Athen. 11, 467e. duo conloqui censet Naber. Mnem. nov. VIII 39.

35

Μυσῶν λείαν

παροιμία τίς ἐστιν .., ἥν φησι Δήμων . . . τὴν ἀρχὴν λαβεῖν ἀπὸ τῶν καταδραμόντων ἀστυγειτόνων τε καὶ λῃστῶν τὴν Μυσίαν

κατὰ τὴν Τηλέφου τοῦ βασιλέως ἀποδημίαν. κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ. Harpocration.

ΜΥΡΜΙΔΟΝΕΣ

Meinek. I 233. de argumento cf. quae ad fr. 36 adnotavimus.

36

ἐν τοῖς βαλανείοις προκέλευθος ἡμέρα
ἀπαξάπασα γῆς στρατιαὶ σιδαρέων.

Pollux 9, 78 *Βυζαντίων σιδήρῳ νομιζόντων ἦν οὕτω καλούμενος σιδάρεος νόμισμά τι λεπτόν, ὥστε ἀντὶ τοῦ 'πρίω μοι τριῶν χαλκῶν' λέγειν 'πρίω μοι τριῶν σιδαρέων.' ὅθεν καὶ ἐν τοῖς Στράττιδος Μυρμιδόσιν εἴρηται κτλ.* Hemsterhusii horum versuum interpretatio tanto viro indigna est. neque quae Herwerdenus Stud. crit. 80. 1 disputavit probari possunt, nisi quod *προκατελοῦθ' ἡμέρα* scribens exiguam veri partem divinando adsecutus est. Pollux cum *τριῶν σιδαρέων* Byzantios, *τριῶν χαλκῶν* Athenienses dixisse Strattidis exemplo demonstrare velit, scribendum est mutatione paene nulla *ἐν τοῖς βαλανείοις προῖκ' ἐλοῦθ' ὁσημέραι | ἀπαξάπασ' ἂν ἡ στρατιά, σιδαρέων | (τριῶν τ' ἐδείπνουν).* ad *ἐλοῦτο* enim *τριῶν σιδαρέων* pertinere non potest, quia in balneis publicis *uno* fere chalco lavabantur. Athen. 8, 351 f. 352 a. Becker. Charikl.[2] III 74. de particula *ἂν* adiectivo *ἀπαξάπασα* addita cf. Aristoph. Nub. 855. Ran. 1022. adparet aliquem narrare, quam vili pretio exercitus (Atheniensium sine dubio) omnia ad victum necessaria Byzantii sibi comparaverit. significatur autem illud opinor tempus (409 a. Chr.), quo Alcibiades ab exercitu Samio receptus magnas illas ex Lacedaemoniis victorias reportavit et Byzantio Selymbriaque potitus est. Xen. Hell. 1, 4, 14—22. Diodor. 13, 67. Plut. Alcib. 30. 1. idem Plutarchus c. 29 narrat post victoriam potissimum Cyzicenam Alcibiadis milites tam elatos fuisse animis, ut a reliquo exercitu se retinerent saepe victo ipsi numquam victi et ad commilitones neque in castris neque in gymnasiis facile accederent. unde titulum comoediae melius quam adhuc factum est explicari posse existimo. scilicet Alcibiadis milites ioco castrensi *Μυρμιδόνες* videntur adpellati esse, quo cognomine Strattis usus est choro ex militibus illis composito.

ΠΟΤΑΜΙΟΙ

Acta est ante Ol. 92, 4. cf. fr. 37. Clinton. Fast. Hellen. 103 Krueg. Meinek. I 233. nomen fabulae datum a Potamiis, qui erat Leontidis tribus pagus. Schol. Hom. Il. 24, 545 *παρ' Ἀθηναίοις εἰσὶ δύο δῆμοι Ποτάμιοι, ὧν ὁ μὲν καθύπερθεν, ὁ δὲ ὑπένερθεν*

ὀνομάζεται. Bursian. Geogr. gr. I 352. Harpocrat. et Photius Ποταμός (Ποταμοί)· ἐκωμῳδοῦντο δὲ (οἱ Ποτάμιοι) ὡς ῥαδίως δεχόμενοι τοὺς παρεγγράπτους (παρεγγράφους), i. e. cives falso in tabulas publicas receptos.

37

ὑμεῖς τε πάντες ἕξιτ' ἐπὶ τὸ Πύθιον
ὅσοι πάρεστε, μὴ λαβόντες λαμπάδας
μηδ' ἄλλο μηδὲν ἐχόμενον Φιλυλλίου.

Schol. Aristoph. Plut. 1194 Λυκόφρων ᾠήθη πρῶτον τοῦτον (Ἀριστοφάνην) δᾷδας ᾐτηκέναι· πεποίηκε δὲ καὶ ἐν Ἐκκλησιαζούσαις αὐτό. ἀλλὰ γὰρ Στράττις πρὸ ἀμφοτέρων τούτων τοὺς Ποταμίους διδάσκων εἰς Φιλύλλιον ἀναφέρει τὸ πρᾶγμα κτλ. πάρεστε V] περ ἐστὲ Θ Ald. 3. Φιλυλλίου Hemsterhus.] Φυλλίου. φύλλον Θ. Pythia tria erant in Attica, unum in urbe, alterum Oenoae, tertium ubi nunc Daphni monasterium situm est Athenis Eleusinem proficiscenti. id quod in urbe erat significari recte iudicavit Hemsterhusius. cf. Bursian. Geogr. gr. I 302.

38

οὐ λίνον λίνῳ συνάπτεις.

ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων· Στράττις Ποταμίοις. Photius. Suidas λίνον λίνῳ συνάπτεις· ἐπὶ τῶν τὰ ὅμοια ἐπιμιγνύντων, ἢ παρακρουομένων καὶ ἀπατώντων. Στράττις Ποταμοῖς. idem οὐ λίνον λίνῳ συνάπτεις· ἐπὶ τῶν τὰ αὐτὰ μὴ διὰ τῶν αὐτῶν πραττόντων. οὕτω Στράττις ἐν Ποταμίοις. Schol. Plat. 369 Bekker. λίνον λίνῳ συνάπτεις· ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν ἢ λεγόντων ἢ δρώντων ἢ τὰ ὅμοια εἰς φιλίαν συναγόντων. μέμνηται δὲ αὐτῆς Ἀριστοτέλης ἐν τῷ γ̄ τῆς φυσικῆς ἀκροάσεως· οὐ γὰρ λίνον λίνῳ συνάπτειν ἐστί. καὶ Στράττις Ποταμοῖς. cf. Heindorf. Plat. Euthyd. p. 390. Hesych. λίνον λίνῳ. Zenob. 4, 96. Diogenian. 6, 16 (ἐπὶ τῶν τὰ ἀσθενῆ ἀσθενέσι συναπτόντων). Schol. Lucian. p. 197 et 224 extr. Iacobitz.

39

ἐγχέλεων ἀνεψιός

Στράττις ἐν Ποταμίοις ἔφη. Athenaeus 7, 299 b. Plat. Euthyd. 298 d καὶ σὺ ἄρα ἀδελφὸς εἶ τῶν κωβιῶν καὶ κυναρίων καὶ χοιριδίων.

ΠΥΤΙΣΟΣ

Titulus obscurus. Casaubonus Πίτυλος. Athen. 7, 327 e. Pho-

tius *πίτυλος· κτυπητής, φαντασιοσκόπος*. Dindorfius ex *Pausania* vel *Cinesia* corruptum existimat. Meinek. I 233.

40

ἐγῷδα τοὐπίνικος ὀργισθεὶς ἔφη,
τῷ στόματι δράσω τοῦθ' ὅπερ ...

Schol. Aristoph. Vesp. 1346 *τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι ... Στράττις ... ἐν Πυτίσῳ· ἐγῷδα — τοῦθ' ὅπερ* [*τοῦ αἰσχροῦ τάττεται*]. extrema delevit Dindorfius. in fine *τοὶ Λέσβιοι* add. Florens Christianus, *χοἰ Λ.* Dobraeus Advers. II 204. *ἐγῷδα* (*ἐγῶδα*) *τοὐπίνικος* V] *ἐγὼ δ' ἅτ' ἐπίνικος* Ald. *ἐγὼ δ' ἅτ' ἐλπίνικος* Bentleius. *ἐγὼ δέ τοὐπίνικος* (i. e. *δέ τοι Ἐπίν.*) Meinekius. *ἐγὼ δέ γ' οὐπ.* Ahrens. De crasi 21. sed omnia densissima caligine premuntur. *χοἰ Λέσβιοι* non recte additur. aut enim omittendum erat *τῷ στόματι* aut dicendum *τοῦτο τῷ στόματι δράσω, ὥσπερ χοἰ Λ.* excidit potius *βούλει ποιεῖν* vel aliquid eiusmodi.

ΤΡΩΙΛΟΣ

Scripserat etiam Sophocles Troilum (Nauck. Trag. gr. fr. 212 sq.), ex qua Meinekius I 233 fragmenti 41 versum priorem ductum putat. cf. Preller. Mythol. gr.² II 425. 6.

41

ἤ μήποτ', ὦ παῖ Ζηνός, ἐς ταὐτὸν μόλῃς,
ἀλλὰ παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα.

Schol. Aristoph. Vesp. 1346 *τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται ... Στράττις ἐν Τρωίλῳ κτλ. ἤ — ταὐτὸν* Meinekius] *ἡ — ταὐτό. παραδοὺς*] *παραδῶς* V. '*εἰς ταὐτὸν μολεῖν* dixisse videtur pro *συνουσιάζειν*'. Meinek.

42

ἐρινὸν οὖν τιν' αὐτῆς πλησίον
νενόηκας ὄντα;

Athenaeus 3, 76e *τὸ δένδρον, ἡ ἀγρία συκῆ, ἐξ ἧς τὰ ἐρινά, ἐρινὸς κατὰ τὸ ἄρρεν λέγεται. Στράττις Τρωίλῳ κτλ. ἐρινὸν* Dindorf.] *ἔρινον*. cf. Hom. Il. 6, 433. 11, 167. 22, 145. Strab. 13, 597 *καὶ τοὺς ὀνομαζομένους τόπους ἐνταῦθα δεικνυμένους ὁρῶμεν, τὸν ἐρινεόν, τὸν τοῦ Αἰσυήτου τάφον.* 598 *ὁ ἐρινεός, τραχύς τις τόπος καὶ ἐρινεώδης, τῷ μὲν ἀρχαίῳ κτίσματι ὑποπέπτωκεν. αὐτῆς* fortasse *σκοπιή* est, quae Il. 22, 145 commemoratur.

ΦΙΛΟΚΤΗΤΗΣ

Cf. Meinek. I 233.

43

οὐδ' ἐν κοπρίᾳ θησαυρὸν ἐκβεβλημένον

Pollux 7, 134 ἀπὸ δὲ τῶν κοπρίων παρὰ τοῖς πλείστοις οἱ βολεῶνες. Στράττις δ' ἐν τῷ Φιλοκτήτῃ φησὶν κτλ.

44

κἀτ' εἰς ἀγορὰν ἐλθόντες ἁδροὺς
ὀψωνοῦσιν μεγάλους τε φάγρους
καὶ Κωπᾴδων ἁπαλῶν τεμάχη
στρογγυλοπλεύρων.

Athenaeus 7, 327e μνημονεύει δὲ τοῦ φάγρου καὶ Στράττις . . . ἐν Φιλοκτήτῃ κτλ. στρογγυλοπλεύρων Schweighaeus.] στρογγυλιπλεύρων PVL. sententia similis videtur esse Aristoph. Ran. 1067. 8.

Praeterea ad Philoctetam Strattidis Meinekius referebat fragmentum adespoton Plutarch. Mor. 789a. adversatur Herwerdenus Exerc. crit. 87.

ΦΟΙΝΙΣΣΑΙ

Euripideam tragoediam a Strattide traductam esse Aristotelis constat testimonio. cf. fr. 45. Meinek. I 233. Cobet. Observ. crit. Plat. 118.

45

παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φακῆν ἕψητε, μὴ 'πιχεῖν μύρον.

Athenaeus 4, 160b κατὰ τὴν Στράττιδος τοῦ κωμῳδιοποιοῦ Ἰοκάστην, ἥτις ἐν ταῖς ἐπιγραφομέναις Φοινίσσαις φησί κτλ. Aristoteles De sensu 5, 443b 30 ἀληθὲς γὰρ ὅπερ Εὐριπίδην σκώπτων εἶπε Στράττις ὅταν φακῆν ἕψητε, μὴ ἐπιχεῖν μύρον. οἱ δὲ νῦν μιγνύντες εἰς τὰ πόματα τοιαύτας δυνάμεις βιάζονται τῇ συνηθείᾳ τὴν ἡδονήν, ἕως ἂν ἐκ δύ' αἰσθήσεων γένηται τὸ ἡδὺ ὡς ἓν καὶ ἀπὸ μιᾶς. Eurip. Phoen. 460 (463). proverbium erat τοὐπὶ τῇ φακῇ μύρον de inutili luxuria. Sopater Athen. 4, 160c Ἰθακὸς Ὀδυσσεὺς τοὐπὶ τῇ φακῇ μύρον | πάρεστι. confert Meinekius Cic. Att. 1, 19 *L. Flaccus et* τὸ ἐπὶ τῇ φακῇ μύρον *Lentulus Clodiani filius*. Gell. N. A. 13, 27 *ne existimetis semper atque in omni loco 'mortales multos' pro 'multis hominibus' dicendum, ne plane fiat*

Graecum illud de Varronis satura proverbium τὸ ἐπὶ τῇ φακῇ μύρον. cf. Schneidewin. Paroemiogr. praef. IV. unguenta enim constat veteres pro oleo cibis addidisse. — filios Iocasta adpellat.

46

εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις
ὅταν λέγωσιν 'ἔξεχ' ὦ φίλ' ἥλιε'.

Pollux 9, 123 ἡ δὲ ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπότ' ἂν νέφος ἐπιδράμῃ τὸν θεόν. ὅθεν καὶ Στράττις ἐν ταῖς Φοινίσσαις κτλ. Zonaras 776 ἐξέχειν· ἐπιτεταλκέναι. ἐξέχειν τὸν ἥλιον. ἔξεχ' ὦ φίλ' ἥλιε. Eurip. Phoen. 546 (549) εἶθ' ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς, σὺ δ' οὐκ ἀνέξει δωμάτων ἔχων ἴσον. etiam apud Strattidem sine dubio loquebatur Iocasta. cf. Aristoph. fr. 389.

47

ξυνίετ' οὐδὲν πᾶσα Θηβαίων πόλις.
οὐδέν ποτ' ἄλλ'. οἳ πρῶτα μὲν τὴν σηπίαν
ὀπιτθοτίλλαν, ὡς λέγουσ', ὀνομάζετε,
τὸν ἀλεκτρυόνα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δὲ
σάκταν, βέφυραν τὴν γέφυραν, τῦκα δὲ
τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δὲ κριδδέμεν,
νεασπάτωτον δ' ἤν τι νεοκάττυτον ᾖ.

Athenaeus 14, 621f ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων κτλ. partem ex Athenaeo excerpsit Eustathius 1818, 2. Photius ὀπισθοτείλαν· τὴν σηπίαν οἱ Βοιώτιοι· ὄπισθεν ἀποτιλῶσαν. Hesychius ὀπισθοτίλα· σηπία. idem κριδδέμεν· γελᾶν. Βοιωτία δὲ ἡ λέξις. 2. ἄλλ'] ἄλλο A. 3. ὀπιτθοτίλλαν] ὀπισθοτίλλαν Eustath. et C Athen. inter lineas. at ὀπιτθοτίλα vera Boeotorum forma est. Ahrens De dial. I 177. cf. ἴττω, ἐπιχαρίττως Aristoph. Ach. 833. λέγουσ' Dindorf.] λέγουσιν. 4. quae in codicibus traduntur metro adversantur. τὸν ἰατρὸν δὲ] ἰατρόν γε μὴν Maltby Morell. Lex. prosod. 574. ὀρταλιδέα, τὸν ἰατρὸν αὖ Lobeck. ὀρτάλιχον, ἰατρὸν δὲ δὴ vel ὀρτάλιχα, τὸν ἰατρὸν δὲ δὴ Meinek. 5. βέφυραν Meinek.] βλέφυραν δὲ. 7. δὲ κριδδέμεν Valcken. Epist. Roever. LXXVI] δὲ ἐκκριδαίωμεν A. 8. νεοκάττυτον ᾖ Schweighaeus.] νεοκαττυτόνη A.

2. οὐδέν ποτ' ἄλλο '*nihil aliud*, h. e. *ita res est*. Theopomp. 32, 4.' Meinek. 5. σάκταν *saginatorem* interpretatur Eustathius (φορτωτὴς παρὰ τὸ σάττω). βέφυραν non commemorari miror ab Ahrensio De dial. I 172. 8. cum νεασπάτωτον facile conferas quae Lobeckius Phryn. 661 attulit. quod vero Athenaeus poetam

opinatur Thebanis novandi in his rebus studium exprobrare, recte refellit Lobeckius Aglaoph. 849, 'antiquum et oppidanum dicendi morem' eos potius retinuisse monens.

48

οὐ σχοινί', οὐδὲ στραγγαλίδες εἰσί.

Pollux 10, 183 *δεσμῷ δ' ἂν ἐοίκοιεν αἱ στραγγαλίδες, Στράττιδος ἐν Φοινίσσαις εἰπόντος. οὐ* Meinek.] *οὐδέ.*

49

Erotianus 93, 8 Klein. *λεβηρίδος· ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* cf. Aristoph. fr. 35. sine dubio etiam Strattis uno ex proverbiis illis usus erat.

50

Athenaeus 15, 699ef *γράβιόν ἐστι τὸ πρίνινον ἢ δρύινον ξύλον, ὅπερ ἐθλασμένον (τεθλ.) καὶ κατεσχισμένον ἐξάπτεσθαι καὶ φαίνειν τοῖς ὁδοιποροῦσιν . . . μνημονεύει δὲ γραβίων κο . . . ἐν Φοινίσσαις.* Schweighaeuserus *καὶ Στράττις ἐν Φοινίσσαις.* at Phoenissas etiam Aristophanis fuisse monet Meinekius. Hesych. *γοβρίαι· φανοί, λαμπτῆρες,* ubi *γράβια* L. Dindorf.

ΧΡΥΣΙΠΠΟΣ

Meinek. I 233. puerorum amores Laii et Chrysippi exemplis videtur exagitavisse. cf. Preller. Mythol.[2] II 343. 7.

51

εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
μηδ' εἰς ἀσωτεῖον τραπέσθαι, μηδ' ἐὰν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

Athenaeus 4, 169a *τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως κτλ.* 2. *ἀσωτεῖον* Meinek.] *ἀσώτιον. μηδ' ἐὰν* Dindorf.] *μηδ' ἂν* BP. 3. *μηδενί*] *μηδὲ ἕν* Meinek. Anal. crit. Ath. 80. v. 1 pro *μηδὲ* scribendum videtur *μή.* Hesych. *Ἀσώπιον· τόπος Ἀθήνησι.* videtur adulescentis nescio cuius sors deplorari, a severo patre educati.

52

πρόσαγε τὸν πῶλον ἀτρέμα, προσλαβὼν
τὸν ἀγωγέα βραχύτερον· οὐχ ὁρᾷς ὅτι
ἄβολος ἔτ' ἐστί;

